Annotazioni metriche: il II colon è più lungo di una sillaba rispetto all'irmo. Nella trascrizione musicale sopra si è proposta un'ipotesi di esecuzione del testo foziano. I vv. 28 e 35 presentano finale "coriambico".

www.tezaurliturgic.ro

ᾠδὴ δ΄

Παντουργὲ παντοδύναμε,
μονὰς ἁπλὴ Τριάς, τοῖς χαρακτῆρσι
φωτισμὸς γενοῦ μοι καὶ ἱλαστήριον.

Tu che tutto fai e puoi, monade semplice, Trinità, con le tue proprietà personali sii per me illuminazione e redenzione.

᾽Εν τῇ βίβλῳ με σύνταξον
τῶν ἐκλεκτῶν, τοῦ βίου τὰς εὐθύνας
παρορῶσα, θεία Τριὰς συνάναρχε.

Registrami nel libro degli eletti, tralasciando le punizioni meritate in vita, o divina Trinità interamente priva di principio.

Θεοτόκε πανύμνητε,
τὴν παναλκῆ δυσώπησον Τριάδα
τῶν πταισμάτων λῦσαί μου τὸ χειρόγραφον.

Genitrice di Dio celebratissima, supplica la Trinità potentissima di annullare il documento scritto dei miei peccati.

῾Η τὸν εὔσπλαγχνον Κύριον
καὶ Ποιητὴν ἀσπόρως συλλαβοῦσα,
Θεοτόκε, σῶσόν με ταῖς πρεσβείαις σου.

Tu che hai concepito senza seme il Signore misericordioso e Creatore, o Genitrice di Dio, salvami con la tua intercessione.

heirmus: Εἰσακήκοα, Κύριε, τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας, καὶ ἐδόξασά σε, cf. e.g. *PG* XXIX, col. 357, deficit in EE

42 χαρακτῆρσι cf. *A.H.G.* V, *Canon In s. Parthenium* 7, IX, vv. 30 sgg. (triad.): Τριάς, ἀπαστράπτομαι τοῖς χαρακτῆρσιν ἐν μιᾷ θεότητι **44** ἐν τῇ βίβλῳ cf. *Mal* 3, 16, *Fil* 4, 3, *Ap* 20, 15 **49** χειρόγραφον: *Col* 2, 14

43 φωτισμοὺς M φωτισμὸς ego

www.tezaurliturgic.ro

ᾠδὴ ε΄

᾽Ελλάμψεως χορηγέ,
τῶν ὑπὲρ ἔννοιαν καλῶν πάροχε,
συστατικὴ τῶν ὄντων αἰτία,
Τριὰς παναγία,
οἰκτείρησον πάντας τοὺς πίστει ὑμνοῦντάς σε.

Dispensatrice di illuminazione, somministratrice di beni al di sopra dell'intelletto, causa costitutiva degli enti, Trinità santissima, abbi pietà di tutti coloro che con fede ti celebrano.

᾽Ακτιστε, ἄναρχε,
Τριὰς ἀοίδιμε, τῆς σῆς δίδου μοι
κατατρυφᾶν δόξης ἀπορρήτου
μετὰ τῶν ἁγίων,
ἐν τῇ κληρουχίᾳ αὐτῶν κατατάσσων με.

Increata, senza principio, Trinità acclamata, concedimi di godere della tua indicibile gloria con i santi, collocandomi nella loro eredità.

Δέσποινα Μῆτερ Θεοῦ,
μὴ ἀπορρίψῃς τὴν ἐμὴν δέησιν,
ἀλλὰ τὴν σὴν δεῖξον εὐσπλαγχνίαν
καὶ τῆς αἰωνίου
χαρᾶς μοι καὶ δόξης γενήθητι πρόξενος.


Regina madre di Dio, non respingere la mia supplica, ma mostra la tua misericordia e sii per me dispensatrice di eterna gioia e di gloria.

᾽Ακουσον, Δέσποινα,
τοῦ στεναγμοῦ καὶ τοῦ κλαυθμοῦ ἄκουσον
τοῦ ἐκ ψυχῆς σε παρακαλοῦντος
καὶ λύσιν τῶν πολλῶν
ὀφλημάτων δίδου πρὸ τῆς ἀναλύσεως.

Ascolta, Regina, ascolta il gemito e il lamento di chi ti supplica dal profondo dell'anima e concedimi la liberazione dai miei molti debiti, prima della separazione dell'anima dal corpo.

heirmus: ῾Ο τοῦ φωτὸς χορηγός, EE 51 p. 38

II canone V ode, sulla melodia di: Ὁ τοῦ φωτὸς — II modo autentico



1) Seconda linea neumatica che corregge:
2) Lettura incerta (ricostruzione basata sul confronto con il ms. Meteora, Metamorf. 291)

N.B. L'irmo su cui si basa Fozio è presente solo in P: Ὁ τοῦ φωτὸς
H e G hanno come V ode di Δεῦτε λαοί: Κύριε ὁ θεός μου

Annotazioni metriche: i vv. 58 e 68 non presentano il finale ossitono che invece ha l'irmo. Il v. 71 ha ossitonia finale (καὶ λύσιν τῶν πολλῶν), tuttavia esso mantiene il numero di sillabe dell'irmo. L'omotonia, ad eccezione dell'accento sull'ultima sillaba, pare ben rispettata, tuttavia un'esecuzione del verso sulla linea melodica proposta dal ms. P pare impervia, dato che il codice marca con la *petasté* una sillaba atona (καὶ λύσ<u>ιν</u>).

www.tezaurliturgic.ro

ᾠδὴ ϛ΄

Πάτερ, Λόγε καὶ Πνεῦμα τὸ ἅγιον,
Τριὰς ὁμοούσιε καὶ ἀκατάληπτε,
ἄξιόν με ἀνάδειξον
τῆς σῆς δόξης ἐπόπτην καὶ μέτοχον.

Padre, Verbo, Spirito santo, Trinità consustanziale e che non può essere compresa, mostrami degno spettatore e partecipe della tua gloria.

῾Η] Τῆς ζωῆς ὑποστάτην γινώσκω σε
ὡσαύτως ζωὴν οὖσαν, Τριὰς ὁμότιμε,
διὸ καὶ ἐξαιτοῦμαί σε,
αἰωνίου ζωῆς με ἀξίωσον.

Riconosco in te l'origine della vita, proprio perché sei tu stessa vita, Trinità parimenti onorata, perciò ti supplico, rendimi degno della vita eterna.

Τὸν ζωῆς καὶ θανάτου Δεσπόζοντα,
Λόγον ὃν ἐκύησας, τοῦτον δυσώπησον,
παρθενομῆτορ ἄχραντε,
ψυχικοῦ με θανάτου λυτρώσασθαι.

Il Signore della vita e della morte, il Verbo che tu hai partorito, supplicalo, o vergine-madre pura, di redimermi dalla morte dell'anima.

Τῆς λαμπρότητος καταπολαῦσαί με
τῆς αἰωνιζούσης ἀξίωσον, Δέσποινα,
τῇ θείᾳ μεσιτείᾳ σου,
σὲ γὰρ ἔχω καὶ μόνην ἀντίληψιν.

Rendimi degno, o Regina, di godere dell'eterno splendore per mezzo della tua divina mediazione, ho te infatti come solo sostegno.

heirmus: ᾽Εν ἀβύσσῳ πταισμάτων, EE 46 p. 34


76 τῆς σῆς δόξης ἐπόπτην cf. e.g. Eus. *In Ps.*, *PG* XXIII, col. 200 r. 5, Greg. Naz., *In sanctum Pascha*, *PG* XXXVI, col. 625 r. 14 et pluries

77 ῾Η del. ego

www.tezaurliturgic.ro

II canone VI ode, sulla melodia di: ’Εν ἀβύσσῳ

II modo autentico



1) C'è una doppia martyria. L'incipit dunque presenta un doppio neuma per avere la concatenazione corretta.

* Martyria non visibile

www.tezaurliturgic.ro

ᾠδὴ ζ΄

Θεὲ τοῦ παντός,
βασιλεῦ βασιλευόντων, πανταιτία Τριάς,
ἐξουσιάρχα τῶν δυνάμεων,
κυριοτήτων ἡνίοχε,
σῶσόν με τὸν δοῦλόν σου, σῶσον
δι᾽εὐσπλαγχνίαν ἀμέτρητον
καὶ μὴ εὐθύνας ἀπαιτήσῃς με τῶν ἔργων μου.

Dio di tutto, re dei re, Trinità causa di tutto, suprema autorità sulle potenze, delle potestà guida, salva me, il tuo servo, salvami per mezzo della tua incommensurabile misericordia e non reclamare punizioni per le mie opere.

Τὸν ὅρον τῆς σῆς
προσταγῆς οὐχ ὑπερβήσεται πᾶς ἄνθρωπος,
διὸ διάζευξιν τὴν τοῦ σώματος
καὶ τῆς ψυχῆς ὑπομένομεν,
ὅθεν σοι προσπίπτω ἐν φόβῳ
καὶ ἐκβοῶ· Τριὰς ἄναρχε,
μετὰ τὸ τέλος τῆς ζωῆς σύ με ἀνάπαυσον.

Il limite da te stabilito nessun uomo mai oltrepasserà, perciò sopportiamo la separazione del corpo e dell’anima, per questo ti supplico con timore e grido: “O Trinità senza principio, tu dammi quiete dopo la fine della vita”.

῾Η μόνη Θεὸν
συλλαβοῦσα ἐν γαστρί, παρθενομῆτορ ἁγνή,
σὺ τὸ χειρόγραφον ἀπαλείψασα
τὸ τῶν πταισμάτων μου σῶσόν με
καὶ τῆς αἰωνίου Γεέννης
καὶ τοῦ πυρὸς τῆς κολάσεως
ἐξάρπασον, ὡς δυνατῇ ἐν σοὶ γὰρ πέποιθα.

Tu che sola hai concepito Dio nel ventre, o vergine-madre santa, tu cancellando il documento scritto dei miei peccati salvami e strappami all’eterna Geenna e al fuoco del castigo, poiché in te potente infatti ho fede.

Πολλαὶ καὶ δειναὶ
καὶ βαρεῖαι ἁμαρτίαι με συνέχουσι
καὶ πρὸς ἀπόγνωσιν καταφέρουσι,
Δέσποινα, βοήθεια πάντων,
σύ με ἐκ τούτων διάσωσον,
<…>
δύνασαι γὰρ ὡς δυνατὸν Θεὸν γεννήσασα.

Molti e terribili e pesanti peccati mi opprimono e mi trascinano giù alla disperazione, o Regina, aiuto di tutti, redimimi da questi… hai potere, infatti, poiché hai generato il Dio potente.

heirmus: Εἰκόνος χρυσῆς, EE 53 p. 39

102 τέλους M τέλος ego **115** versus omissus vid.



Annotazioni metriche: analogamente a quanto accade per la VII ode dei canoni foziani per san Giovanni il Teologo e per san Nicola (vedi *infra* S.N.VII.) composti nel II modo autentico, il testo in tre punti (indicati nello spartito con un *) ha struttura metrica diversa dall'irmo: nei primi due casi i *cola* foziani sono più lunghi dell'irmo (l'esecuzione vocale secondo la tradizione melodica di H e G avrà forse colmato gli intervalli disgiunti lì presenti, mentre quella di P avrà ripetuto la nota su cui già la melodia era ferma). Il finale nell'irmo è ossitono. Il testo foziano nel terzo caso è più breve di due sillabe in tutti i tropari. In H e G si sarà tralasciata la nota *si* finale, mentre in P la scrittura melismatica permette di distribuire le sillabe in modo più libero. Nell'ultimo tropario manca un verso di sette sillabe con accenti in quarta e settima posizione (il penultimo, cf. il brusco δύνασαι che apre il v. finale).

www.tezaurliturgic.ro

ᾠδὴ η΄

Πάτερ γεννῆτορ τοῦ Υἱοῦ,
Λόγε τοῦ Πατρὸς καὶ θεῖον Πνεῦμα,
τρισυπόστατε φύσις,
μονὰς ὑπέρθεε,
πρεσβείαις πάντων τῶν ἁγίων σου
καὶ τῆς Θεοτόκου
ἐκ τοῦ πυρός με ῥῦσαι.

Padre generatore del Figlio, Verbo del Padre e divino Spirito, natura in tre ipostasi, monade iperdivina, per l'intercessione di tutti i tuoi santi e della Genitrice di Dio liberami dal fuoco.

Καὶ πρὸ θανάτου καὶ ταφῆς
ὡς ἐν τάφῳ κατοικῶν πιστῶς βοῶ σοι·
ὦ Τριὰς παναγία,
ἡ πλαστουργὸς τοῦ παντός,
πταισμάτων παράσχου μοι λύτρωσιν,
ἀνάπαυσιν θείαν
βράβευσον τῇ ψυχῇ μου.

E prima della morte e della sepoltura, al giacere nel sepolcro con fede grido a te: "O Trinità santissima, creatrice di tutto, procura per me la redenzione dai peccati, concedi alla mia anima la quiete".

Ἡ προστασία τῶν πιστῶν,
ἡ ἐλπὶς τῶν ταπεινῶν, πτωχῶν ἡ σκέπη
ἡ τῶν ὑπορριμμένων
θερμὴ ἀντίληψις,
πταισμάτων ἄφεσίν μοι δώρησαι,
Δέσποινα τοῦ κόσμου,
καὶ ζωὴν αἰωνίαν.

Difesa dei fedeli, speranza dei miseri, dei poveri la protezione, fervente sostegno dei respinti, donami la redenzione dei peccati, o Regina del mondo, e la vita eterna.

Σοὶ ἀνεθέμην ἐμαυτὸν
ὡς προστάτιδι θερμῇ, ὡς δυναμένῃ
τὰς ἐμὰς ἐκπληρῶσαι
δεήσεις πάσας, ἁγνή,
διό μου πλήρωσον τὴν δέησιν
καὶ πρὸ τοῦ θανάτου
λῦσον τὰς ὀφειλάς μου.

Ti affidai me stesso, poiché sei fervente difesa e hai il potere di adempiere tutte le mie suppliche, o veneranda, perciò soddisfa la mia preghiera e prima della morte sciogli i miei debiti.

heirmus: Τὸν ἐν καμίνῳ τοῦ πυρός, EE 47, p. 35

118 deficiunt duo syll.

www.tezaurliturgic.ro

II canone VIII ode, sulla melodia di: Τὸν ἐν καμίνῳ II modo autentico



Annotazioni metriche: l’adattamento del testo foziano all’irmo appare difficoltoso specie nel secondo verso del primo tropario, più breve di due sillabe; si può ipotizzare la caduta di un epiteto bisillabico in lode di Cristo (Θεός/Θεέ, Υἱέ o simili; quest’ultimo potrebbe essere stato tralasciato dal copista per la vicinanza del precedente Υἱοῦ). Il v. 120 non ha l’ossitonia dell’irmo.

www.tezaurliturgic.ro

ᾠδὴ θ΄

Ἡ φυσικὴ ἀγαθότης,
ἡ ὑπερπληρεστάτη
καὶ τελειωτικὴ τῶν γεννητῶν,
Τριὰς μονὰς ὑπερούσιε,
κατοικτείρησον πάντας
τοὺς πίστει προσκυνοῦντάς σε ἀεὶ
καὶ τὸ θεῖόν σου κράτος
ὑμνοῦντας καὶ δοξάζοντας.

Bontà per natura, totale e perfettiva dei viventi, Trinità monade sovrasostanziale, abbi misericordia di tutti coloro che con fede sempre ti onorano, inneggiano alla tua divina forza e ti glorificano.

Ἡ οὐσιώσασα πάντα,
τοῦ φωτὸς ἡ ἐργάτης
καὶ ἄκτιστος οὐσία καὶ μορφή,
Πάτερ, Υἱέ, Πνεῦμα ἅγιον,
μὴ νικήσῃ κακῶν μου
τὸ πλῆθος τὴν χρηστότητα τὴν σήν,
ἄλλως θέλῃς οἰκτείρας,
σῶσόν με τὸν ἀνάξιον.

Tu che tutto fai esistere, artefice della luce, increata sostanza e forma, Padre, Figlio, Spirito santo, che l’abbondanza dei miei mali non vinca la tua bontà, ma al contrario abbi la volontà della misericordia, salva me, che sono indegno.

Σὲ πρὸς τὸ σῴζειν ἑτοίμην
εὑρηκὼς προστασίᾳ,
τὰς χεῖράς μου ἐκτείνω καὶ πρὸς σὲ
κράζω θερμῶς συντονίᾳ ψυχῆς,
Θεοτόκε παρθένε,
βοήθησον καὶ σῶσόν με αὐτὴ
καὶ πυρὸς αἰωνίου
λύτρωσαι τὸν ἀνάξιον.

Avendoti trovata pronta a salvarmi con la tua protezione, tendo le mie mani e grido a te fervidamente con zelo dell’anima, Genitrice di Dio vergine, tu aiutami e salvami e redimi dal fuoco eterno me, che sono indegno.

Καὶ νοεροὺς αἰσθητούς τε
ὑπερβάσα, παρθένε,
τῇ δόξῃ καὶ τιμῇ πλὴν τοῦ Θεοῦ,
τὸν ὑπερβάντα ἐν πταίσμασι
παλαιούς τε καὶ νέους
ἀνθρώπους ἁμαρτήσαντας ἐν γῇ
μὴ βδελύξῃ με, Κόρη,
ἀλλὰ τῇ σῇ ἰσχύι σῶσόν με.

E tu che superi per gloria e onore, o Vergine, sia gli esseri intelligibili sia quelli percepibili eccetto Dio, non disprezzare me, o Fanciulla, che supero nei peccati gli uomini antichi e quelli recenti che peccarono sulla terra, ma con la tua forza salvami.

heirmus: Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, EE 46 pp. 34 sq.

166 αὐτῇ M αὐτὴ ego

www.tezaurliturgic.ro

II canone IX ode, sulla melodia di: Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον — II modo autentico



1) Indicazione di due martyrie
2) Lettura difficoltosa: ho supposto un kentema sopra un kratema.
3) L'irmo qui presenta una sillaba in più del testo foziano, che tuttavia si adatta bene alla melodia
4) L'irmo di H e G è diverso da P, tuttavia accenti e numero di sillabe sono gli stessi.
H e G: σαρκωθέντα δι'ἡμάς.
P: σωματούμενον θεόν.
5) Correzione in base a G

* Martyria non visibile

Annotazioni metriche: i vv. 148, 156 e 172 non hanno ossitonia finale.

www.tezaurliturgic.ro

(T.VI.) Canone alla Santissima Trinità e alla Genitrice di Dio, II modo plagale, su Κύματι θαλάσσης τὸν κρύφαντα πάλαι.

Sigla

Edizioni:

Papad.: A. Papadopoulos-Kerameus, *Φωτίου πατριάρχου ὕμνος ἀνέκδοτος*, "Православний Палестинский Сборник" 11, 1892, pp. 9-14.

PID: *Παρακλητικὸν σὺν Θεῷ ἁγίῳ τῆς ὑπεραγίας Θεοτόκου. Ποίημα τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ*, Romae, curante Ph. Vitali, 1738, σσ. ρλγ΄- ρλς΄

Codici:

J: Gerusalemme, Πατριαρχικὴ βιβλιοθήκη, Hagios Sabas 362, saec. XII *ex.*-XIII *in.*,
ff. 125v-126v: Πάτερ παντοκράτορ, / Υἱὲ Πατρὸς Λόγε

M: Lesbos, Μονὴ τοῦ Ἰωάννου τοῦ Θεολόγου gr. 15, saec. XV,
ff. 114v-119r: Πάτερ παντοκράτορ, Υἱὲ Πατρὸς Λόγε

SP: Sankt-Petersburg, Собрание греческих рукописей 548, saec. XIV inc.,
ff. 202r-204r: Ἔχεις δυναστείαν ποιεῖν ὅσα θέλεις

www.tezaurliturgic.ro

ᾠδὴ α΄

Πάτερ παντοκράτορ,
Υἱὲ Πατρὸς Λόγε,
Πνεῦμα Πανάγιον,
Τριὰς ὁμότιμε,
τοὺς εὐσεβῶς προσκυνοῦντας
σοῦ τὸ κράτος τὸ ἀνείκαστον
καὶ τὴν ἀγαθότητα
ἐλέησον, οἰκτείρησον.

Padre onnipotente, Verbo Figlio del Padre, Spirito Santissimo, Trinità parimenti onorata, abbi misericordia, abbi pietà di coloro che onorano con venerazione la tua potenza incomparabile e la tua bontà.

Σὺ εἶ ὑπόστασις
τῶν ὄντων ἁπάντων,
δι᾽ἀγαθότητα
πάντα παράξασα,
Τριὰς μονὰς παναγία,
φύσις μία ἡ ὑπέρθεος,
σὺ ἡμᾶς διάσωσον
τοὺς πίστει προσκυνοῦντάς σε.

Tu sei fondamento di tutti gli enti, poiché con la tua bontà tutto porti all’esistenza.
Trinità che sei monade Santissima, unica natura iperdivina, tu preserva noi che con fede ti riveriamo.

Ἔχεις δυναστείαν
ποιεῖν ὅσα θέλεις,
ἔχεις καμπτόμενον
ταῖς σαῖς λιταῖς τὸν σὸν Υἱόν,
ἔχεις ἰσχὺν τε καὶ κράτος
προστατεύειν ἀναντίρρητον,
Θεοτόκε Δέσποινα·
διάσωζε τοὺς δούλους σου.

Tu hai la potenza di compiere ciò che vuoi, hai tuo Figlio che si piega alle tue preghiere, hai la forza e il potere di proteggere in modo incontrovertibile, o Genitrice di Dio Regina, salva i tuoi servi.

heirmus: Κύματι θαλάσσης, EE 281 p. 164
tit.: J f. 125v: Ἕτερος κανὼν παρακλητικὸς εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα καὶ εἰς τὴν ὑπεραγίαν Θεοτόκον. Φωτίου (in monogrammate)
M f. 114v: Τῷ σαββάτῳ ἑσπέρας Ὁ κανὼν
SP f. 202r: Ἕτερος κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον· εἱρμὸς ὁ αὐτός

fontes:
J f. 125v, M f. 114v-115r,
solum vv. 17-32: SP f. 202r, PID ρλγ΄

12 πάντα] ταῦτα J παρησάξασα M **13** παναγία] πανάγιος J **14** φύσις μία ὑπέρθεος M **18** θέλης M **20** τὸν σὸν ego solum τὸν J, PID solum σὸν M **22** προστατεύειν ἀναντίρρητον J προστασίαν ἀναντήρητον M προστασίαν αναντίρρητον SP, PID **24** διάσωζε τοὺς δούλους σου J, M διὸ σῶσον τὸν δοῦλόν σου SP, PID

www.tezaurliturgic.ro

Δέσποινα παρθένε,
βοήθεια πάντων,
ἡ ἀπολύτρωσις
καὶ σωτηρία βροτῶν,
σὺ πολυτρόπων κινδύνων
καὶ παθῶν καὶ περιστάσεων
τοὺς σοὺς δούλους λύτρωσαι
τοὺς πίστει σε δοξάζοντας.

Regina vergine, aiuto di tutti, redenzione e salvezza dei mortali, tu da pericoli di ogni specie, da passioni e difficoltà redimi i tuoi servi che ti glorificano con fede.

25 sq. Δέσποινα τοῦ κόσμου, κεχαριτωμένη J **29** κινδύνων] δαιμόνων J **31** τοὺς σοὺς δούλους] τοὺς δούλους σου J

www.tezaurliturgic.ro

VI canone, prima ode, sulla melodia di: Κύματι θαλάσσης — II modo plagale



* Martyria non visibile

(La lettura dei neumi del ms. G ad inizio riga appare talvolta impervia)

www.tezaurliturgic.ro

ᾠδὴ γ΄

Σὲ προσκυνοῦμεν πάντες
καὶ σέβομεν, Τριὰς μονὰς ἁγία,
τὴν ἄκτιστον οὐσίαν,
τὴν ὑπεράρχιον δύναμιν,
τὴν φύσιν τὴν ὑπέρθεον
καὶ ἀκατάληπτον,
Πάτερ, Λόγε, Πνεῦμα ἅγιον.

Tutti noi ti riveriamo e ti veneriamo, Santa, monade Trinità, sostanza increata, potere che trascende il principio, natura iperdivina e che non si può comprendere, Padre, Verbo, Spirito Santo.

Ῥῦσαι κακῶν ἁπάντων
τοὺς δούλους σου τοὺς πίστει σε ὑμνοῦντας
καὶ δώρησαι εἰρήνην
καὶ σωτηρίαν καὶ ἔλεος,
ὦ Τριὰς παναοίδιμε,
μονὰς ὑπέρθεε,
Πάτερ, Λόγε, Πνεῦμα ἅγιον.

Libera da tutti i mali i tuoi servi che con fede inneggiano a te e dona pace, salvezza e pietà, o Trinità celebratissima, monade iperdivina, Padre, Verbo, Spirito santo.

Ἡ τῶν κτισμάτων πάντων
δεσπόζουσα, σεμνὴ Θεοκυῆτορ,
ἐμὲ τὸν δουλωθέντα
τοῖς χαλεποῖς πλημμελήμασι
καὶ ἀθεμίτοις πράξεσι
δεῖξον ἐλεύθερον
τούτων θείᾳ δυναστείᾳ σου.

Tu che sei Regina di tutta la Creazione, veneranda Generatrice di Dio, libera me, che sono asservito a penosi peccati e ingiuste azioni, da questi mali, con la tua divina potenza.

Ὅλος κατεστιγμένος
τοῖς μώλωψι τοῖς ἐκ παραπτωμάτων
ἐπὶ σοὶ καταφεύγω,
Θεογεννῆτορ, καὶ δέομαι·
Σὺ τὰς οὐλὰς ἐξάλειψον
τούτων καὶ σῶσόν με,
ῥῶσιν θείαν μοι παρέχουσα.

Tutto segnato dai lividi derivanti dai peccati mi rifugio in te, Generatrice di Dio e prego: “Tu ungi le cicatrici di questi e salvami, procurandomi salute divina”.

heirmus: Σὲ τῶν ἐπὶ ὑδάτων, EE 231 p. 164
fontes
J f. 125v, M f. 115 r-v,
solum vv. 47-60: SP f. 202r, PID ρλγ΄

40-46 om. Papad. **48** δεσπόζουσα, σεμνὴ Θεοχαρίτωτε M **48** θεοκυῆτορ] θεογεννῆτορ J **49 sq.** ἐμοὶ τῷ δουλωθέντι τοῖς χαλεποῖς πλημμελήμασι M **54** κατεστιγμένος] κατεστιγμένως PID **57** Θεογεννῆτορ πανάμωμε J **58** ἐξάλειψον] ἀφάνισον M, PID, rarius quam ἐξάλειψον, solum in Sym. Neoth., *Hymn.* 46 v. 14: ἀφάνισον τὰς οὐλὰς πάσας (*TLG*).

www.tezaurliturgic.ro

VI canone, III ode, sulla melodia di: Σὲ τὸν ἐπὶ ὑδάτων — II modo plagale



* Martyria non visibile

1) Il neuma ─ va probabilmente corretto con ─· come in G

www.tezaurliturgic.ro

ᾠδὴ δ΄

Σὲ δυσωπῶ, Τριὰς ἀχώριστε,
Πάτερ ἄναρχε, Υἱὲ
καὶ θεῖον Πνεῦμα·
ἐλέησον καὶ οἰκτειρον
τοὺς ἐπὶ τὴν σὴν
προσφυγόντας ἀμέτρητον ἀγαθότητα.

Ti supplico, o Trinità indivisa, Padre senza Principio, Figlio e divino Spirito; abbi pietà, abbi misericordia di chi si rifugia nella tua incommensurabile bontà.

᾽Αγγελικαὶ χοροστασίαι σε
δυσωποῦσι θερμῶς,
Τριὰς ἀρχικωτάτη,
ὑπὲρ ἐμοῦ τοῦ τάλανος,
λύσιν τῶν δεινῶν
παρασχεῖν μοι καὶ σῶσαί με τὸν ἀνάξιον.

I cori degli angeli ti supplicano con fervore, o Trinità che sei la somma origine di tutto, per me misero, di procurarmi la liberazione dai mali e di salvare me, che sono indegno.

῾Η πλουσιοδότως ἐξαστράπτουσα
τὴν σὴν αἴγλην, Τριάς,
ταῖς λογικαῖς οὐσίαις,
τὸν νοῦν μου φωταγώγησον
φόβον πρὸς τὸν σὸν
καὶ γλυκύτατον πόθον καὶ θεῖον ἔρωτα.

Tu che con generosità munifica fai brillare il tuo splendore per le sostanze intelligibili, o Trinità, guida la mia mente nella luce al tuo timore, al dolcissimo desiderio e all’amore divino.

᾽Απεγνωκὼς τῆς σωτηρίας μου
ἀνακράζων βοῶ
καὶ χεῖρας ἀνατείνω·
᾽Ελέησόν με Δέσποινα,
Μῆτερ τοῦ Θεοῦ,
σὺ γενοῦ μοι βοήθεια καὶ ἀντίληψις.

Senza più speranza ormai per la mia salvezza grido ad alta voce e tendo le mani: “Abbi pietà di me, Regina, Madre di Dio, sii tu mio aiuto e sostegno”.

heirmus: Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν, EE 231 p. 164

fontes
J f. 125v, M f. 115v-116r,
solum vv. 79-84: SP f. 202v, vv. 73-84: PID ρλδ΄

64 ἐλέησον ἐλέησον M **70** ὑπὲρ ἐμοῦ τοῦ τάλανος M, cf. [Bas.], *Sermo ob sacerdotum instructionem*, *PG* XXXI, col. 1688 r. 41, Theod. Stud. *Sermo catech. magn.* Cat. 90, p. 58 r. 22, Ignat. *Ep.* 33, r. 58, *Vita et miracula Niconis* 43, r. 33 et alibi ὑπὲρ ἐμοῦ τοῦ ταπεινοῦ J, lectio facilior vid. **68** ἀρχικώτατε SP, Papad. **72** παρασχεῖν μοι codd. παρασχεῖν με Papad. **72** τὸν πανάθλιον M **72** σὴν om. M **80** ἀνακράζω βοῶ M **84** βοήθεια καὶ ἀντίληψις] βοήθειά μου καὶ σῶσόν με J

VI canone, IV ode, sulla melodia di: Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν — II modo plagale



Annotazioni metriche: il secondo più il terzo *colon* del secondo, terzo e quarto tropario hanno in totale tredici sillabe, invece che dodici come l'irmo e il primo tropario. La sillaba eccedente si poteva forse intonare all'unisono sulla nota finale del *colon*, su cui già la melodia era ferma.

www.tezaurliturgic.ro

ᾠδὴ ε΄

’Αχρειωθεὶς ταῖς πονηραῖς
τῶν ἡδονῶν πλημμελείαις φόβῳ σοι,
Τριὰς ἄναρχε σεπτή, προσέρχομαι,
Πάτερ, Λόγε, Πνεῦμα τὸ ἅγιον,
ἀγαθότητί σου πολλῇ
καὶ εὐσπλαγχνίᾳ σου
οἴκτειρον καὶ σῶσον
καὶ ῥῦσαι κατὰ φθορᾶς τοῦ δυσμενοῦς καὶ ἐχθροῦ.

Ormai corrotto dai malvagi errori dei piaceri, santa Trinità priva di principio, a te giungo con timore, Padre Verbo Spirito Santo, per la tua grande bontà e misericordia abbi pietà, salvami e liberami dalla distruzione dell’avversario e del nemico.

Τῆς αἰωνίου σου ζωῆς
καὶ βασιλείας, Τριάς, ἀξίωσον
τοὺς πιστῶς ὑμνοῦντας καὶ δοξάζοντας
τὸ ἀπειροδύναμον κράτος σου,
δωρουμένη τὸν ἱλασμὸν
καὶ τὴν συγχώρησιν
τῶν παραπτωμάτων
καὶ πάντων τῶν λυπηρῶν τὴν ἀναλύτρωσιν.

Della tua eterna vita e regno, Trinità, fa’ degni coloro che con fede inneggiano a te e glorificano la tua forza di infinita potenza, donando il perdono e la remissione dei peccati e la redenzione da tutti i mali.

Κατὰ τὸ πλῆθος, ἀγαθή,
τῶν οἰκτιρμῶν καὶ τῆς εὐσπλαγχνίας σου
τὸν εἰς σὲ προστρέχοντα ἐκ πίστεως
καὶ αἰτούμενον τῇ πρεσβείᾳ σου
τῶν πταισμάτων τὸν ἱλασμὸν
καὶ τὴν συγχώρησιν
τῶν παραπτωμάτων
παράσχου μοι, Θεοτόκε ἀειπάρθενε.

Secondo l’abbondanza della tua pietà e della tua misericordia, o buona, procura per me, che accorro a te con fede e che faccio ricorso alla tua intercessione, il perdono dei peccati e la remissione degli errori, o Genitrice di Dio sempre Vergine.

’Απεγνωσμένον με δεινῶς
ταῖς συνεχέσι βίου κακώσεσι
καὶ ταλαιπωρίαις καὶ ταῖς θλίψεσι
καὶ δαιμόνων ταῖς ἐπιθέσεσιν
ἀπολύτρωσαι, ἀγαθή,
παρθένε πάναγνε,
καὶ τῆς σωτηρίας
παράσχου μοι θυμηδίαν καὶ τὴν ἐλλαμψιν.

Disperato terribilmente per le continue corruzioni della vita, per le miserie, per le angosce e per gli assalti dei demoni, redimimi, o buona, Vergine santissima, e procurami la gioia e lo splendore della salvezza.

heirmus: Θεοφανείας σου, Χριστέ, EE 231 p. 164

fontes
J f. 126v, M f. 116r-v,
solum vv. 99-114: PID ρλδ΄

96 σου om. M **99** πταισμάτων M **100** λυπηρῶν] δυσχερῶν M **101** σοῦ ἁγνή PID **104** τῇ πρεσβείᾳ J τὴν πρεσβείαν σου M, SP ταῖς πρεσβείαις σου PID **107** τῶν πλημμεληµάτων PID **110** βίου] τοῦ βίου PID **115 sq.** καὶ τῆς μετανοίας / παράσχου μοι σωτηρίαν καὶ τὴν ἐλλαμψιν PID

www.tezaurliturgic.ro

VI canone V ode, sulla melodia di: Θεοφανείας σου, Χριστέ — II modo plagale



* Martyria non visibile

Annotazioni metriche: il v. 92 (conclusivo di tropario) ha finale “coriambico”.

www.tezaurliturgic.ro

ᾠδὴ ς΄

῾Η τὰ πάντα
διακυβερνῶσα
καὶ διακατέχουσα
καὶ προνοοῦσα πάντων
καὶ τῆς σωτηρίας τῶν ἀνθρώπων
προμηθουμένη, Τριὰς ὑπερούσιε,
σὺ παράσχου μοι παραπτωμάτων
τὴν ἀπολύτρωσιν καὶ τῆς θείας ζωῆς
καὶ ἀγαλλιάσεως τὴν μέθεξιν.

Tu che tutto governi e reggi, che sei la Provvidenza di tutto e che ti curi della salvezza degli uomini, Trinità sovrasostanziale, tu procurami la redenzione dai peccati e la partecipazione alla vita divina e alla gioia.

Σοὶ προσπίπτω
καὶ καθικετεύω,
Πάτερ ἐπουράνιε,
Υἱὲ Θεοῦ καὶ Λόγε,
Πνεῦμα ἅγιον καὶ ζωηφόρον·
Τριὰς ἁγία, μονὰς ὑπερούσιε,
τὰς πολλάς μου ἀθεμιτουργίας
ἐξαφανίζουσα δώρησαί μοι χαρᾶς
τῆς αἰωνιζούσης τὴν ἀπόλαυσιν.

A te mi prostro e supplico, Padre celeste, Figlio di Dio e Verbo, Spirito Santo e portatore di vita; Santa Trinità, monade sovrasostanziale, facendo svanire le molte mie ingiustizie donami il godimento della gioia eterna.

Σκοτισθεῖσαν
τὴν διάνοιάν μου
ζόφῳ λογισμῶν πονηρῶν
καὶ ἡδονῶν ἀχλύϊ
καὶ τῷ σκότει τῶν παραπτωμάτων,
Παρθενομῆτορ, φώτισον πρεσβείαις σου
ἡ τὸ θεῖον Φῶς ἀποτεκοῦσα
καὶ ἐνυπόστατον,
λάμψασα φωτισμὸν
τὸν τῆς μετανοίας μοι καὶ χάριτος.

La mia mente ottenebrata dall’oscurità di ragionamenti malvagi, dalla nebbia dei piaceri e dal buio delle colpe, Madre Vergine, illuminala con la tua intercessione, tu che hai generato la luce divina e sostanziale, facendo risplendere, per me, il fulgore della conversione e della grazia.

heirmus: Συνεσχέθη, / ἀλλ’οὐ κατεσχέθη, EE 231 p. 164

fontes
J f. 126v, M f. 116v-117v,
solum vv. 126-144: SP f. 203r, PID p. ρλε΄

117 ῾Η] ῾Ο M **123** μοι om. J **130** καὶ] τὸ M **133** ἐξαφανίσασα M **137** λογισμῶν πονηρῶν] πονηρῶν λογισμῶν SP, PID **141** τὸ] τὸν M **144** καὶ χάριτος] καὶ χάριτι J τῆς χάριτος M

www.tezaurliturgic.ro

Ἴθυνόν με
πρὸς ἐνθέους τρίβους,
Μῆτερ τοῦ Παντάνακτος,
ἐκ παθῶν με ἀνοδίας
καὶ τῆς ἁμαρτίας λυτρουμένη
καὶ ὁδηγοῦσα
πρὸς ζωὴν ἀκήρατον,
σὺ γὰρ πάντων τῶν καλῶν αἰτία
καὶ σωτηρία βροτῶν,
σῴζουσα ἐκ φθορᾶς
καὶ πρὸς σωτηρίαν ἐπανάγουσα.

Indirizzami verso strade divine, Madre del Sovrano di tutto, riscattandomi dalla via senza uscita delle passioni e del peccato e guidandomi alla vita incorruttibile; tu infatti sei causa di tutti i beni e salvezza per i mortali, salvando dalla rovina e alla salvezza elevando.

148 με om. M **149** με post λυτρουμένη PID **151** αἰώνιον J, M, lectio facilior vid.

www.tezaurliturgic.ro

VI canone VI ode, sulla melodia di: Συνεσχέθη


II modo plagale



1) Variante neumatica superiore: ( )

* Martyria non visibile. La colizzazione non è distinguibile visto lo stato di conservazione di questi fogli. La lettura del codice P è in molti punti incerta per il deterioramento dell'inchiostro del cod.

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

ᾠδὴ ζ΄

Ἀπαγωγῆς με
τῆς ἁμαρτίας ἐξάρπασον
καὶ δουλείας τῆς τῶν ἡδονῶν,
Τριὰς ἀρχική,
μονὰς τρισυπόστατε
καὶ δώρησαί μοι δουλεύειν σοι ἐν φόβῳ
καὶ σεμνότητι βίου καὶ ἁγνείᾳ.

Strappami dall'assalto del peccato e dalla schiavitù dei piaceri, Trinità, sommo Principio, monade in tre ipostasi, e donami di servire Te con timore, con integrità di vita e con purezza.

Οἱ τῶν ἀγγέλων
χοροί, Τριάς, σὲ δοξάζουσι
τρισαγίοις ὕμνοις καὶ ᾠδαῖς,
μεθ' ὧν καὶ ἡμεῖς
τοῖς πηλίνοις χείλεσι
ὑμνολογοῦμεν καὶ πίστει μελῳδοῦμεν·
Λυτρωτὰ ὁ θεός, εὐλογητὸς εἶ.

I cori degli angeli, o Trinità, ti glorificano con inni tre volte santi e con odi, assieme ai quali anche noi, con le nostre labbra d'argilla, ti lodiamo e intoniamo con fede: "O Dio Redentore, tu sei benedetto".

Στήριξον πέτρᾳ
τῶν θεληματῶν τοῦ Κτίστου μου
τὴν ψυχήν μου, Δέσποινα σεμνή,
σάλον ἡδονῶν
καὶ παθῶν τὸν τάραχον
ταῖς σαῖς πρεσβείαις πραΰνουσα καὶ θείαν
δωρουμένη γαλήνην καὶ εἰρήνην.

Colloca sulla roccia dei comandamenti del mio Creatore la mia anima, Regina veneranda, placando tempesta di piaceri e lo sconvolgimento delle passioni con la tua intercessione e donando divina bonaccia e pace.

Ὄμβρους μοι δίδου
δακρύων, πάναγνε Δέσποινα,
τὰς κηλῖδας πάσας τῆς ψυχῆς
καὶ τῶν ἡδονῶν
τὸν ῥύπον ἐκπλύνουσα,
καὶ καθαρόν με προσάγουσα τῷ Κτίστῃ
καὶ Δεσπότῃ Θεῷ σῇ εὐσπλαγχνίᾳ.

Concedimi pioggia di lacrime, o Regina santissima, lavando ogni macchia dell'anima e lo sporco dei piaceri, conducendomi puro al Creatore e Signore Dio con la tua misericordia.

heirmus: Ἄφραστον θαῦμα, EE 231 p. 164

fontes
J f. 126v, M f. 117v-118r,
solum vv. 170-183: SP f. 203v, PID ρλε΄

173 σάλον ἡδονῶν fort. metri causa ego τὸν σάλον τῶν ἡδονῶν J σάλον τῶν δεινῶν M τὸν σάλον καὶ τῶν δεινῶν PID **178** Δέσποινα πάναγνε J πάναγνε Δέσποινα M ἄχραντε Δέσποινα SP, PID

www.tezaurliturgic.ro

VI canone VII ode, sulla melodia di: Ἄφραστον θαῦμα — II modo plagale



* La linea melodica di H in due punti appare anomala rispetto alle cadenze attese per il II plagale.
La trascrizione dei neumi del ms. P non è possibile a causa del deterioramento di questi fogli

Annotazioni metriche: l'ultimo verso dei quattro tropari ha una sillaba in più dell'irmo, anche se in tre casi su quattro è possibile che mediante sinalefe due sillabe fossero intonate assieme.

www.tezaurliturgic.ro

ᾠδὴ η΄

Πάτερ ἀγέννητε θεέ,
Υἱὲ συνάναρχε,
γεννητὲ ἐκ τοῦ Πατρός,
καὶ Πνεῦμα τῷ Υἱῷ ὁμότιμον
καὶ προιὼν ἐκ Πατρός,
Τριὰς ἀρχικωτάτη καὶ θεία,
ἐλέησον τοὺς πίστει
σὲ σεπτῶς προσκυνοῦντας
καὶ ὑπερυφοῦντας
εἰς πάντας τοὺς αἰῶνας.

Padre ingenerato Dio, Figlio parimenti senza principio, generato dal Padre, e Spirito onorato come il Figlio e che procede dal Padre, Trinità Sommo Principio e divina, abbi pietà di chi con venerazione ti riverisce con fede e ti esalta nei secoli dei secoli.

Λύμνης παθῶν καὶ ἡδονῶν
τῆς κατεχούσης με
καὶ φθειρούσης τὴν ψυχὴν
καὶ σῶμα τάχος ἐλευθέρωσον,
τὴν σωτηρίαν μοι
παρέχουσα καὶ τὴν ἐλευθερίαν
τοῦ πάντοτε δοξάζειν
σοῦ τὸ θεῖον κράτος
καὶ τὴν δυναστείαν,
Τριὰς μονὰς ἁγία.

Libera(mi) in fretta dalla palude delle passioni e dei piaceri che mi trattiene e che mi logora l'anima e il corpo, offrendomi la salvezza e la libertà di glorificare sempre la tua forza divina e la tua potenza, Trinità, monade santa.

Κίνδυνοι ᾅδου δυσχερεῖς
καὶ θλίψεις εὗροσαν
καὶ ἀνάγκαι με σφοδραὶ
καὶ πόνοι καὶ δεινῶς συνέχουσι
καὶ ἀπολλύουσιν,
ἐγὼ δὲ τὴν σὴν ἐπικαλοῦμαι
βοήθειαν, Παρθένε·
σύ με ῥῦσαι ἐκ τούτων
καὶ φῶς θυμηδίας
αὔγασον τῇ ψυχῇ μου.

I pericoli amari dell'Ade, le angosce, le odiose avversità e i dolori mi scovarono e mi trattengono terribilmente e mi distruggono, io però invoco il tuo aiuto, o Vergine, tu liberami da questi e fa' splendere per la mia anima la luce della gioia.

heirmus: Ἐκστηθι φρίττων, EE 231 p. 164

fontes
J f. 126v, M f. 118r-v
solum vv. 201-220: SP f. 203v, PID ρλς΄,

185 πρόγονον J **188** ἀληθῇ σε ὑμνοῦντας M **194** σωματα χῦ M **196** παρέχουσαν M **207** βοήθειαν] ἀντίληψιν M **208** σύ με λύτρωσαι τούτων M **208 sqq.** σύ με ῥῦσαι τῆς τούτων / ἀνάγκης πρὸς γαλήνην / ἀνάγουσα τὴν ὄντως SP, PID
201 sq. cf. *Ps* 114, 2

www.tezaurliturgic.ro

Φάλαγγας θραῦσον τῶν ἐχθρῶν
τῇ δυναστείᾳ σου,
Θεοτόκε ἀγαθή,
τῶν μάτην καταπολεμούντων με καὶ
τυραννούντων σφοδρῶς
καὶ τῇ ἀπωλείᾳ μου χαιρόντων,
φρουροῦσα, συντηροῦσα,
λυτρουμένη τῆς τούτων
πονηρᾶς μανίας
καὶ δεινῆς πανουργίας.

Annienta con la tua potenza le schiere dei nemici che invano combattono contro di me, con violenza mi dominano e gioiscono della mia distruzione, o Genitrice di Dio buona, vigilando e proteggendomi, riscattandomi dalla loro crudele follia e terribile malvagità.

219 πονηρᾶς μανίας] εἰκεοβουλίας J, εἰκαιόβουλιάς M

www.tezaurliturgic.ro

VI canone VIII ode, sulla melodia di: Ἐκστηθι φρίττων — II modo plagale



Annotazioni metriche : il v. 185 ha finale “coriambico”. Al v. 210, l’accento iniziale viola l’omotonia con gli altri tropari e l’irmo.

www.tezaurliturgic.ro

ᾠδὴ θ΄

Τριάδα σέβω ἁγίαν,
συμφυῶς ἡνωμένην
ἐν οὐσιότητι μιᾷ καὶ δόξῃ καὶ τιμῇ,
τοὺς μὴ οὕτω φρονοῦντας ἀποβαλλόμενος·
ὁ Πατὴρ γὰρ καὶ Λόγος
καὶ Πνεῦμα τοῦ Θεοῦ,
εἷς Θεὸς κατ᾽ οὐσίαν,
Τριὰς ἀχώριστος.

Io venero la Santa Trinità, unita insieme in un'unica sostanza, con gloria e onore, respingendo chi non pensa in questo modo; il Padre e il Verbo e lo Spirito di Dio, un solo Dio secondo la sostanza, Trinità indivisibile.

᾽Απαμφιάσας τὸ αἶσχος
τῆς ἐμῆς ἁμαρτίας
τῆς σωτηρίας μου στολὴν ἐπένδυσον λαμπρὰν
καὶ τοῦ θείου γάμου ποίησον ἄξιον
δαιτυμόνα γενέσθαι
εὐσπλάγχνῳ σου ῥοπῇ,
Πάτερ, Λόγε καὶ Πνεῦμα,
Τριὰς ὁμότιμε.

Avendomi spogliato della vergogna del mio peccato, fammi indossare la veste splendente della salvezza e rendimi degno di essere invitato alle nozze divine, con il tuo intervento misericordioso, Padre, Verbo e Spirito, Trinità parimenti onorata.

῾Ολοσχερῶς ἐκ καρδίας
ἐμαυτόν σοι προσφέρω
καὶ ἀνατίθημι φροντίδα πᾶσαν ἐπὶ σοί·
διὰ σοῦ πταισμάτων εὕροιμι λύτρωσιν,
διὰ σοῦ τῆς μελλούσης
δειχθείην κοινωνὸς
βασιλείας καὶ δόξης,
Θεογεννῆτορ ἁγνή.

Ti offro me stesso con tutto il cuore e a te rimetto ogni preoccupazione; grazie a te io possa trovare la liberazione dai peccati, per mezzo tuo io sia reso partecipe del regno futuro e della gloria, o Generatrice di Dio santa.

Σὲ προστασίαν καὶ σκέπην
καὶ ἐλπίδα καὶ τεῖχος
καὶ προσφυγὴν καὶ ἱλασμὸν καὶ λύσιν τῶν δεινῶν
εὑρηκότες, ἁγνή, διασῳζόμεθα
πειρασμῶν καὶ κινδύνων
καὶ νόσων καὶ παθῶν,
καὶ ἀπαύστως τιμῶμεν
τὴν δυναστείαν σου.

Avendo trovato in te, o santa, il soccorso e il riparo, la speranza e il baluardo, il rifugio e il riscatto e la liberazione dai mali, siamo riscattati dalle tentazioni, dai pericoli, dalle malattie e dalle passioni, e incessantemente onoriamo la tua potenza.

heirmus: Μὴ ἐποδύρου μοι, Μῆτερ, EE 231 p. 165

fontes:
J f. 126v-127r, M f. 118v-119r solum vv. 237-252: SP f. 204r, PID p. ρλς΄

222 νοουμένην M **224** τοὺς οὕτω φρονοῦντας ἀποβαλλόμεθα M **240** om. M: λύτρωσιν] ἄφεσιν J **241** τῆς om. J, M **244** ἁγνή] ἄχραντε J **247-252** καὶ προσφυγὴν καὶ ἱλασμὸν καὶ λύσιν τῶν πολλῶν / ἐγκλημάτων δίδου, εὔσπλαγχνε Κύριε, / πειρασμῶν καὶ κινδύνων/ ἀπάλλαξον, Χριστέ,/ τῆς τεκούσης σε, Λόγε,/ μητρὸς δεήσεσιν PID **251** τιμῶμεν] ὑμνοῦμεν M

www.tezaurliturgic.ro

VI canone IX ode, sulla melodia di: Μὴ ἐποδύρου μοι, Μῆτερ — II modo plagale



Il manoscritto G in questo irmo è deteriorato. P non è leggibile nella parte iniziale.

Annotazioni metriche: il v. 224 ha una sillaba in più dell'irmo (probabile sinalefe μὴ / οὐ-); il v. 244 ha ossitonia finale.

www.tezaurliturgic.ro

Quattro canoni per la Θεοτόκος

Nella storia della fortuna critica di Fozio innografo, la serie di canoni paracletici alla Madre di Dio qui oggetto di studio è la prima, tra quelle a lui ascritte, ad essere pubblicata.

L'*editio princeps* di tre canoni della serie, più un quarto che a buon diritto la critica considera non foziano (su cui vedi *infra*), fu opera del monaco e dotto athonita Nicodemo l'Agiorita (1748-1809), che inserì gli inni nel suo *Theotokarion*, la cui prima edizione fu stampata a Venezia nel 1796[120]. Silloge di cinquantasei canoni in onore della Madonna (uno per ciascun giorno della settimana, da sabato a venerdì, per un ciclo di otto settimane), seguiti ciascuno da quattro *Chairetismoi*, essa si basa, così si legge nell'introduzione (*Προοίμιον τοῖς ἐντευξομένοις*), su diverse fonti athonite, che però l'editore non dichiara, rendendo purtroppo particolarmente arduo lo studio critico dei componimenti da lui editi[121].

Il canone nel primo modo autentico, dall'incipit: Πύλη τοῦ φωτὸς τοῦ νοητοῦ e acrostico Πρώτη δέησις τῇ πανάγνῳ Παρθένῳ· Φωτίου, è assegnato dall'editore a Fozio patriarca (ποίημα Φωτίου ἁγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως) ed è destinato ad essere intonato il mercoledì sera.

Il canone nel terzo modo autentico, che inizia con Τὸν ἐν σοὶ ἀπορρήτως e porta l'acrostico Τρίτη δέησις τῇ πανευκλεεῖ Κόρῃ· Φωτίου, reca anch'esso la medesima rubrica del primo, ma si intona il lunedì sera.

Il canone Τὸ στόμα μου πλήρωσον γλυκασμοῦ, che chiude la serie, composto nel IV modo plagale, con acrostico Ταύτῃ καὶ ἡ δέησις ὀγδόῃ πρέπει· Φωτίου, collocato al venerdì sera, porta una più breve rubrica ποίημα Φωτίου, riflesso forse di quanto Nicodemo lesse nelle sue fonti manoscritte. La prudenza è quanto mai necessaria, poiché ad oggi non è

---

[120] Nikodemos Naxios Hagioreites, *Στέφανος τῆς Ἀειπαρθένου, ἤτοι Θεοτοκάριον, νέον ποικίλον καὶ ὡραιότατον ὀκτώηχον* […] *καὶ νῦν πρῶτον τύποις ἐκδοθέν*, Ἐνετίῃσι 1796, pp. 17-20, [36-39], 63-66, 213-216. Le varie edizioni del *theotokarion* come libro liturgico e del *Theotokarion* di Nicodemo in particolare sono dettagliatamente elencate in D. N. Strategopoulos, *Τὸ λειτουργικὸ βιβλίο τοῦ Θεοτοκαρίου καὶ τὸ Θεοτοκάριο τοῦ ἁγίου Νικοδήμου τοῦ Ἁγιορείτη*, in "Μνήμη ἁγίου Νικοδήμου τοῦ Ἁγιορείτου", Ἅγιον Ὄρος 2009, pp. 5-22.

[121] "Τοὺς δὲ ᾀσματικοὺς τούτους κανόνας, διεσπαρμένους ὄντας εἰς πολλὰ καὶ διάφορα χειρόγραφα Θεοτοκάρια τῶν ἱερῶν καὶ βασιλικῶν τοῦ ἁγίου Ὄρους Μονῶν, καὶ εἰς ἓν συναχθέντας μετὰ κόπων πολλῶν ἕνας θεοσεβὴς καὶ φιλόχριστος ἀδελφός, διὰ φιλοτίμου δαπάνης, εἰς τὸ φῶς τῆς Τυπογραφίας ἐξέδωκεν ἅπαντας εἰς δόξαν τῆς Ἀειπαρθένου, καὶ εἰς κοινὴν τῶν Χριστιανῶν καὶ εὐλαβῶν ἐραστῶν τῆς Θεοτόκου ὠφέλειαν", Nikodemos Hagioreites, *Θεοτοκάριον*, cit. (ed. 1796), σσ. ς΄-ζ΄. Sulla data di composizione del *Theotokarion* si veda P. Nikolopoulos, *Βιβλιογραφικὴ ἐπιστασία τῶν ἐκδόσεων Νικοδήμου τοῦ Ἁγιορείτου*, Πρακτικὰ Συμποσίου Νικοδήμου Ἁγιορείτου τοῦ Ναξίου (Νάξος 8-11 Ἰουλίου 1993), [= "Ἐπετηρὶς Ἑταιρείας Κυκλαδικῶν Μελετῶν ΙϚ΄" (1996-2000)], Ἀθήνα 2000, σ. 497, S. Paschalides, *Τὸ ὑμναγιολογικὸ ἔργο τῶν Κολλυβάδων. Συμβολὴ στὴ μελέτη τῆς ἁγιολογικῆς γραμματείας κατὰ τὴν περίοδο τῆς Τουρκοκρατίας*, Θεσσαλονίκη 2007, σ. 180; Onuphriou Iberitou *Βίος ἐν συνόψει Νικοδήμου Ἁγιορείτου, Παύλου τοῦ θείου καὶ ἐνδόξου ἀποστόλου αἱ ΙΔ΄ ἐπιστολαί...*, Ἐνετίῃσι 1819, σ. ια΄-ιβ΄.

www.tezaurliturgic.ro

stato possibile individuare i manoscritti (athoniti) utilizzati per la compilazione del *Theotokarion*, a motivo del difficile accesso ai codici stessi, delle troppo brevi indicazioni catalogiche e della mancanza di riproduzioni disponibili per molti di essi (anche ad esempio presso il Πατριαρχικόν ίδρυμα πατερικών μελετών della Μονή των Βλατάδων di Salonicco o alla *Library of Congress* di Washington).

D'altronde, anche Sophronios Eustratiadis, che ben conobbe i codici del monte Athos, non riuscì ad individuare le fonti di Nicodemo per i canoni nel primo e nel terzo modo autentico, che pertanto semplicemente ristampò nel, purtroppo, unico volume del suo *Theotokarion*, comprendente i canoni composti nei quattro modi autentici. Egli si limitò a segnalare la presenza del canone scritto nel terzo modo autentico nel codice *Par. gr.* 370, senza però procedere ad una nuova edizione o a segnalare le varianti, notevoli, che offre il *Parisino*[122].

Ultimissime ricerche stanno percorrendo la via di un'indagine più sistematica sul "metodo di lavoro" adottato da Nicodemo e, pur non raggiungendo risultati definitivi, hanno portato a determinare apparentamenti e differenze tra l'opera innografica dell'Agiorita e quella di altri autori di *Theotokaria* a lui coevi. In particolare, a D. N. Strategopoulos si deve l'individuazione di somiglianze piuttosto strette (non però identità) tra il *Theotokarion* in esame e quello, mai dato alle stampe, raccolto dallo ierodiacono athonita Luca di Nicea, che sopravvive in quattro manoscritti databili al Diciottesimo secolo[123]. In particolare, il contenuto dei due *Theotokaria* è sovrapponibile all'89%, ma l'opera di Nicodemo non sarebbe mero apografo dell'altra, fatto che induce a sospettare che entrambi abbiano tratto i componimenti da una fonte comune, tuttora non identificata.

L'edizione dei canoni foziani compiuta da Nicodemo l'Agiorita non sfuggì al cardinale Pitra, che per primo ne diede conoscenza all'Occidente, indicando incipit, acrostico e modo musicale e fornendo i suoi lettori di un'ulteriore informazione, assai preziosa: egli infatti segnalò la presenza di un altro canone mariano che l'acrostico, e la rubrica di conseguenza, assegnano a Fozio, conservato tra i *Palatini Greci* della Biblioteca Apostolica Vaticana (Vat. Pal. gr. 138)[124]. Di questo canone, dall'incipit Ὑμνῶ σου, Πανάχραντε, τῆς δυναστείας e acrostico Ὕμνος τέταρτος τῇ πανάγνῳ Παρθένῳ· Φωτίου, composto nel IV modo

[122] S. Eustratiades, *Θεοτοκάριον*, Ἁγιορειτικὴ βιβλιοθήκη, Chennevières-sur-Marne, 1931, pp. 91-94, 314-317.

[123] I codici latori del *Theotokarion*, tuttora inedito, dello ierodiacono Luca di Nicea sono i seguenti: Lesbos, Ἱ. Μονὴ Ταξιαρχῶν Μανταμάδου 26 (a. 1732), Ἱ. Μονὴ Λειμῶνος 358 (a. 1735), Thessalon., Σπουδαστήριον Ἱστορικῆς Θεολογίας τοῦ Α.Π.Θ. 5 (a. 1738), Patm. gr. 621 (XVIII saec.), Athos, Ἱ. Μονὴ Ἰβήρων 471 (XVIII saec.), Ἱ. Μονὴ Παντελεήμονος 371(XVIII saec.). Nessuno dei codici ha contenuto identico ad un altro; alcuni canoni si trovano, ad esempio, in solo uno di essi. Sulla questione si veda D. N. Strategopoulos, *Προσεγγίζοντας τις πηγὲς τοῦ Νέου Θεοτοκαρίου τοῦ Ἁγίου Νικοδήμου* (in c.d.s.), che ringrazio per la segnalazione.

[124] J.-B. Pitra, *Analecta Sacra spicilegio Solesmense parata*, I, Parisiis 1876, p. 438.

www.tezaurliturgic.ro

autentico, il Pitra diede alle stampe soltanto le due ultime odi (l'ottava e la nona), affinché si leggesse chiaramente, nei tropari terminali, la parte di acrostico recante il nome dell'autore, Φωτίου, e affinché godessero di maggior credito gli inni foziani editi da Nicodemo l'Agiorita, che il Pitra lesse nella ristampa costantinopolitana del 1849[125].

Il canone segnalato dal Pitra, per lungo tempo inedito, ha trovato recentemente la sua prima edizione da parte di A. Panagiotou, che ha potuto beneficiare dell'individuazione di una seconda fonte per l'inno, il *Sin. gr.* 781, uno dei codici fondamentali, assieme al *Sin. gr.* 782, su cui vedi *infra* alla fine del paragrafo, per la ricostruzione delle fasi arcaiche della paracletica[126]. Segnalo che il *Sin. gr.* 781, contenente i cicli settimanali dei quattro modi autentici ma mutilo del settore iniziale dedicato al primo modo[127], è fonte anche del canone foziano scritto nel III modo, di cui costituisce la fonte sinora più antica tra quelle che ho individuato e, come si vedrà in apparato all'edizione, la più corretta[128].

L'appartenenza dei canoni mariani sinora elencati (nei modi I, III e IV autentici e IV plagale) ad una stessa serie innografica pare ipotesi valida: essi sarebbero stati concepiti come un insieme di inni per la Madre di Dio, in totale otto (di cui questi dunque sarebbero solo una parte), composti ciascuno in uno degli otto modi musicali della Chiesa Greca. L'originaria unitarietà dei canoni, nelle serie innografiche, è marcata dagli acrostici, che presentano tutti un numero ordinale (da "primo" ad "ottavo"), indicante la posizione di ciascun inno nella serie, e sono di uguale struttura metrica. Nel caso degli inni foziani, questi requisiti sono interamente soddisfatti: i quattro acrostici recano il numero ordinale e sono tutti formati da un dodecasillabo bizantino seguito dal nome dell'autore, *extra metrum*, al genitivo, forma, come abbiamo notato, prediletta nelle serie innografiche attribuite a Fozio.

L'analisi stilistica, assieme ad altri significativi indizi, permette di escludere secondo me in modo definitivo che sia foziano un canone composto nel secondo modo autentico, con l'incipit Θρήνου καιρός. Quest'inno risulta stampato nel *Theotokarion* di Nicodemo l'Agiorita alle pp. 36-39 (prima edizione) e lì assegnato ad Andrea di Creta (ποίημα τοῦ ἁγίου ᾽Ανδρέου Κρήτης) sulla base di un'ipotesi dell'editore, che interpreta le dubbie informazioni offerte dall'acrostico. Nella rubrica anteposta al canone, infatti, l'acrostico lì riportato recita: Θρηνῶδες ᾆσμα δεύτερον τῇ Παρθένῳ· Φωτίου; tuttavia se si leggono le

[125] Nikodemos Naxios Hagioreites, *Στέφανος τῆς ἀειπαρθένου, ἤτοι Θεοτοκάριον, νέον ποικίλον καὶ ὡραιότατον ὀκτώηχον* […], ἐν Κωνσταντινουπόλει 1849, pp. 15-18, 57-60, 184-187.

[126] H. Husmann (*Hymnus und Troparion: Studien zur Geschichte der musikalischen Gattungen von Horologion und Tropologion*, in "Jahrbuch des Staatlichen Instituts für Musikforschung, Preussischer Kulturbesitz", Berlin 1971, p. 36) mostrò che i due codici sono due parti del medesimo manoscritto.

[127] Il codice inizia con il canone κοινός del sabato, nel II modo autentico.

[128] A. Panagiotou, *Δύο ἀνέκδοτοι κανόνες τοῦ ἱεροῦ Φωτίου*, " ᾽Επιστημονικὴ ἐπετηρίδα τῆς φιλοσοφικῆς σχολῆς τοῦ πανεπιστημίου ᾽Αθηνῶν" 37, 2005-2006, pp. 135-156: 147-156.

www.tezaurliturgic.ro

lettere incipitarie dei tropari il nome "Fozio" non compare, poiché l'acrostico si interrompe dopo τῇ Παρθένῳ. Nicodemo però si accorse che le prime tre lettere degli ultimi tre tropari (Του - Κρη - Της) possono leggersi come τοῦ Κρήτης, ovvero "dell'innografo di Creta", di qui la sua ipotesi di assegnare il canone ad Andrea, metropolita di Gortina nell'isola di Creta (c.a. 660-740).

C. Émerau nel suo novero di inni foziani censì anche l'inno in questione[129], mentre l'Eustratiadis seguì l'ipotesi di Nicodemo nel ritenerlo opera di Andrea di Creta[130].

Nel corso dell'intero *Theotokarion* dell'Agiorita, si possono individuare altri cinque canoni apparentati a questo dagli acrostici, che recano infatti un riferimento specifico al carattere trenodico degli inni e, anche se non sempre, un numero d'ordine da "primo" ad "ottavo" (I modo: inc. Θρήνων ἀπαρχάς, acr. Θρήνων ἐμῶν δέχοιο τὸν πρῶτον Κόρη· ναί, III modo: inc. Θλίψεσιν προσπαλαίειν, acr. Θρηνεῖν τὸ κέρδος τοῦ βίου καθ'ἡμέραν, II modo plagale: inc. Ἰωὴλ ὁ θαυμαστός, acr. Ἴωμεν αὖθις τοῦ καλοῦ θρήνου χάριν, III modo plagale: inc. Τρέμω τὴν καταδίκην τῆς ἀποφάσεως, acr. Τὸν ἕβδομον θρῆνον δὲ πῶς παραδράμω; IV modo plagale, inc. Θρηνώδη τὸν βίον, acr. Θρῆνος βροτοῖς πέφυκεν ἐκ Θεοῦ χάρις. Il canone nel IV modo autentico manca, mentre quello nel I modo plagale, pur attribuito ad Andrea, non ha acrostico). Tutti questi componimenti non portano il nome dell'innografo né nell'acrostico né nella rubrica, ma Nicodemo li assegnò *in toto* ad Andrea di Creta, probabilmente sulla base della congettura da lui formulata in merito all'inno "del Cretese".

L'attribuzione pare tuttavia da escludere: di Andrea non sono noti sinora canoni, ritenuti autentici dalla critica, che portino l'acrostico e che mostrino un'organizzazione ottoecale. Gli irmi impiegati dall'innografo nei sei canoni in esame, secondo le attribuzioni correnti, sono di Giovanni Damasceno e di Cosma, non di Andrea di Creta, noto come melodo[131].

Per quanto riguarda la dicitura τοῦ Κρήτης che Nicodemo l'Agiorita lesse nel canone scritto nel II modo autentico, essa non si ritrova in nessuno degli altri inni della serie e pertanto si può difficilmente ritenere σφραγίς dell'autore[132].

L'attribuzione foziana, che deriverebbe dalla rubrica anteposta all'inno nel II modo autentico, risulta decisamente da respingere. Lo stile di questo, come degli altri cinque inni della serie, è

---

[129] C. Émereau, *Hymnographi Byzantini*, "Échos d'Orient" 24, 1925, p. 168 sg.

[130] Eustratiades, *Θεοτοκάριον*, cit., pp. 185-188.

[131] W. Weyh, *Die Akrostichis in der byzantinischen Kanonesdichtung*, "Byzantinische Zeitschrift" 7, 1908, pp. 38 sg.

[132] Ad un anonimo cretese pensa D. N. Strategopoulos, *Ὁ ἱερὸς Φώτιος ὑμνογράφος τοῦ ἁγίου Νικολάου*, Ἀθῆνα 2009, p. 10.

www.tezaurliturgic.ro

ricco di figure retoriche (III ode I trop. ὁδίτην ὁδεύοντα), di echi scritturali, specie attinti dalle vicende mosaiche (III ode II trop. – *Gn* 39, 1-20 – μὴ ζηλώσας Ἰωσὴφ, IV ode IV trop. Αἰγύπτου Μωϋσῆς ἐξήγαγε τῆς δουλείας Ἰσραηλίτας, V ode II trop. – *Es* 24, 12-18 e commenti dei Padri – Διὰ νηστείας ποτὲ προκαθαρθεὶς ὁ Μωϋσῆς ἤκουσε θείας φωνῆς, V ode III trop. – *Es* 16, 11-35 – Ἐν τῇ ἐρήμῳ Σινᾶ μάννα Θεὸς τῷ Ἰσραὴλ ἔβρεξε, V ode IV trop. – Nu 16, 1-50 – ὥσπερ Δαθὰν καὶ Ἀβειράν, VII ode IV trop. – Nu 21, 5 sg. – Ἀγρίοις θηρσὶ παρεδόθην τῶν παθῶν τοῖς ἐπιστάταις, ὡς ἐν ἐρήμῳ οἱ γογγύσαντες, καὶ ἀφανῶς ἐκκεντοῦσί με, ὥσπερ καὶ ἐκείνους οἱ ὄφεις), di esortazioni alla propria anima (I ode I trop. ὦ παναθλία ψυχή, I ode II trop. λοιπὸν τῇ Θεοτόκῳ, ψυχή, προσπέσωμεν, VIII ode IV trop. Νηστείαν ἄσκησον, ψυχή, ἀγρυπνίαν καὶ κλαυθμὸν καὶ ψαλμῳδίαν, καὶ τὴν ἄϋλον στάσιν ἐν ὀλονύκτοις εὐχαῖς). Tali caratteristiche, proprie di un innografo abile, tuttora dunque non identificato, mai si incontrano nei canoni paracletici foziani.

Esclusa dunque la paternità foziana dell'inno nel II modo autentico, pubblico di seguito gli inni nel primo, terzo e quarto modo autentico e quello nel IV modo plagale, sulla base delle edizioni già sopra segnalate e dei seguenti codici:

- Sinai, Μονὴ τῆς Ἁγίας Αἰκατερίνης, gr. 781, saec. X-XI, chart.
Τὸν ἐν σοὶ ἀπορρήτως: ff. 112v-116r
Ὑμνῶ σου Πανάχραντε: ff. 213r-216v
Cat.: *Checklist of Manuscripts in St. Catherine's Monastery*, cit., p. 10
M. Kamil, *Catalogue of All Manuscripts in the Monastery of St. Catherine on Mount Sinai*, Wiesbaden 1970, nr. 1067

- Paris, Bibliothèque nationale de France, gr. 370, saec. XII, membr.
Τὸν ἐν σοὶ ἀπορρήτως: ff. 49v-52v
Cat.: H. Omont, *Inventaire sommaire des manuscrits grecs de la B.N.*, I-II, Paris 1886, p. 38

- Sankt-Petersburg, Собрание греческих рукописей 548, saec. XIV inc., chart.
Πύλη τοῦ φωτὸς τοῦ νοητοῦ: ff. 26r-28r
Cat. E. Granstrem, *Каталог греческих рукописей ленинградских хранилищ*, "Византийский временник" 28, 1968, p. 253 (nr. 596)

- Roma, Biblioteca Apostolica Vaticana, Pal. gr. 138, saec. XIV, chart.
Ὑμνῶ σου Πανάχραντε (primum trop. Μορφὰς καὶ ἰνδάλματα): ff. 6r-7v
Cat.: H. Stevenson sen.: *Codices manuscripti Palatini Graeci Bibliothecae Vaticanae*, Romae 1885, pp. 67-70
F. D'Aiuto, *Un manoscritto innografico del secolo XIV: il Vaticano Palatino Greco 138*, "Rivista di Studi Bizantini e Neoellenici" 28, 1991, pp. 150-170

- Istanbul, Πατριαρχικὴ βιβλιοθήκη, Panaghia 117, saec. XVI expl., chart.

Τὸν ἐν σοὶ ἀπορρήτως: ff. 57r-61r
Cat: M. Kouroupou et Paul Géhin, *Catalogue des manuscrits conservés dans la Bibliothèque du Patriarcat Œcuménique*, Turnhout 2008, I, p. 310.

Gli inni foziani sono contenuti anche nei manoscritti del *Theotokarion* inedito di Luca di Nicea, di cui sopra si è detto. Il canone nel primo modo autentico (inc. Πύλη τοῦ φωτὸς) appare testimoniato nei mss. dei monasteri Τῶν Ἰβήρων e Τοῦ Λειμῶνος e nel patmiaco. Il terzo canone (inc. Τὸν ἐν σοὶ ἀπορρήτως) nel patmiaco e nel lesbiota Τοῦ Λειμῶνος, il quarto (Τὸ στόμα μου) solo nella Μονὴ τοῦ Παντελεήμονος. Pur essendo queste delle fonti postbizantine la cui tradizione testuale appare senz'altro non di più semplice decifrazione di quella che è sfociata nella stampa di Nicodemo, ritengo opportuno che in studi futuri io possa confrontare anche le lezioni di questi testimoni, cui finora non ho potuto accedere.

In merito alla tradizione medievale degli inni foziani, si avverte che la *recensio* da me condotta non ha tuttora portato ad individuare codici testimoni dell'inno Τὸ στόμα μου πλήρωσον γλυκασμοῦ (nel IV modo plagale), che pertanto mi limito a ripubblicare confrontando le edizioni del *Theotokarion* di Nicodemo e le numerose stampe di quest'inno presenti nelle *Akolouthie* di vari santi, che datano all'inizio del XX secolo e che saranno segnalate *infra*[133]. È necessario precisare che l'inno, pur presentando acrostico, struttura e lessico complessivo corrispondenti a quelli che reputo caratteristici di Fozio, non appare tuttavia completamente omogeneo. Alcuni tropari, infatti, utilizzano un lessico di registro più elevato rispetto agli altri e ai restanti inni foziani, fatto che permette di dubitare che essi conservino l'originaria collocazione. L'escussione dei codici che testimoniano il terzo inno della serie, come si vedrà oltre, parrebbe confermare questo dubbio. Laddove i manoscritti riportano tropari inediti e coerenti con lo stile foziano, infatti, Nicodemo al loro posto ne pubblica altri, che in gran parte appartengono a diversi innografi, specie a Giovanni Mauropode, come si preciserà *infra* nell'apparato delle fonti. Poiché questo si constata con chiarezza nel terzo canone, nulla vieta che anche per il quarto si possa supporre un analogo *modus operandi* dell'Agiorita.

Se, come abbiamo più volte ripetuto, i quattro canoni foziani sono parte di un'unica catena, ci si auspica che il prosieguo della ricerca paleografica possa portare all'individuazione degli inni mancanti (nel II modo autentico, nel I, II e III plagale).

A questo proposito, D.N. Strategopoulos suggerisce che l'investigazione dei codici sinaitici può forse aver permesso di ritrovare, nell'antica paracletica *Sin. gr.* 782, ai ff. 113v-116v, il

[133] Trovo le segnalazioni delle *Akolouthie* a stampa contenenti l'inno in esame in D.N. Strategopoulos, *Ἔντυπες ἀκολουθίες ἁγίων*. Συλλογὴ Δτόρης Παπαστράτου, Ἀθήνα 2007, pp. 177, 193, 282.

www.tezaurliturgic.ro

canone foziano scritto nel III modo plagale. L'inno, inedito, dall'incipit Δέσποινα Θεοτόκε, τοὺς ἐπὶ σοὶ πεποιθότας, ha le seguenti lettere incipitarie dei tropari: ΔΔΣΟ / ΣΗΨΗ / ΜΗΤΕ / ΗΟΗΣ / ΤΤΤΑ / ΑΤΡΑ / ΓΦΑΩ / **ΤΕΟΣ**. È impossibile, come si nota, ricostruire da queste lettere un acrostico, tuttavia nell'VIII e nella IX ode possono esserci tracce di un originario Φώτιος, ora alterato[134].

[134] Strategopoulos, *Ὁ ἱερὸς Φώτιος*, cit., p. 22.

www.tezaurliturgic.ro

[M.I.] Canone alla Genitrice di Dio, I modo autentico, su Σοῦ ἡ τροπαιοῦχος δεξιά
Acrostico: Πρώτη δέησις τῇ πανάγνῳ Παρθένῳ. Φωτίου

Sigla
Edizioni:
Nikod.: Nikodemos Naxios Hagioreites, *Στέφανος τῆς ᾽Αειπαρθένου, ἤτοι Θεοτοκάριον, νέον ποικίλον καὶ ὡραιότατον ὀκτώηχον* […] *καὶ νῦν πρῶτον τύποις ἐκδοθέν*, ᾽Ενετίῃσι 1796, pp. 17-20
Eustrat.: S. Eustratiades, *Θεοτοκάριον*, ῾Αγιορειτικὴ βιβλιοθήκη, Chennevières-sur-Marne 1931, pp. 31-34

Codici:
SP: Sankt-Petersburg, Собрание греческих рукописей 548, saec. XIV inc.,
Πύλη τοῦ φωτὸς τοῦ νοητοῦ: ff. 26r-28r

www.tezaurliturgic.ro

ᾠδὴ α΄

Πύλη τοῦ φωτὸς τοῦ νοητοῦ,
τῆς μετανοίας μοι πύλας διάνοιξον
καὶ τὸν νοῦν μου φώτισον,
τὸ ζοφερὸν σκότος ἀποδιώκουσα
τὸ τῆς ἁμαρτίας
καὶ τῶν παθῶν, Παναμώμητε.

Porta della luce intelligibile, apri per me le porte della conversione e illumina la mia mente, scacciando la cupa oscurità del peccato e delle passioni, o Irreprensibile.

Ῥῦσαι τὴν ψυχήν μου, ἀγαθή,
τῆς δυναστείας τοῦ δολίου δράκοντος
τοῦ τοῖς δελεάσμασι
τῶν ἡδονῶν ταύτην συγκαταφέροντος
πονηρᾷ ἀπάτῃ
τῆς ἀπωλείας πρὸς βάραθρα.

Libera la mia anima, o Buona, dalla tirannia del serpente ingannatore che con le esche dei piaceri la sospinge, con malvagio inganno, nei baratri della perdizione.

Ὡς τῶν ἀγαθῶν τῶν ὑπὲρ νοῦν
ἀναδειχθεῖσα τοῖς ἀνθρώποις πρόξενος,
Δέσποινα πανάχραντε,
οὕτω κἀμοὶ τῆς σωτηρίας πρόξενος
τῆς αἰωνιζούσης
καὶ εὐφροσύνης γενήθητι.

Poiché tu appari per gli uomini dispensatrice dei beni che superano l’intelletto, o Regina purissima, così sii anche per me dispensatrice della salvezza eterna e della gioia.

Τὸν πάντα βουλήματι αὐτοῦ
δημιουργήσαντα κράτει Θεότητος,
Λόγον τὸν ἀΐδιον,
τοῦτον, ἁγνή, ἐν μήτρᾳ σου ἐχώρησας
ἐπ’εὐεργεσίᾳ
τῶν γηγενῶν σωματούμενον.

Colui che di propria volontà tutto ha creato con la potenza della sua Divinità, il Verbo eterno, o santa, tu a Lui hai dato forma nel tuo grembo, a Lui che si incarna per benevolenza verso i terrigeni.

heirmus: Σοῦ ἡ τροπαιοῦχος δεξιά, EE 1 p. 1
tit.: SP f. 26r: Τῇ παρασκευῇ κανὼν σταυρώσιμος, […]. Ἕτερος τῆς ὑπεραγίας Θεοτόκου, ἦχος ὁ αὐτός.

3 μου] μοι Nikod., Eustrat **19-24** om. SP **22** τοῦτον om. Eustrat. sed contra metrum

1 φωτὸς … νοητοῦ pluries post Philonem Judaeum (*e.g.* Phil. *Opif.Mundi* 31, 1, *ibid.* 33, 1, *ibid.* 55, 1, *Abr.* 119, 4 et alibi)

www.tezaurliturgic.ro

I canone I ode, sulla melodia di: Σοῦ ἡ τροπαιοῦχος δεξιά — I modo autentico



1) Presenza di variante neumatica in rosso:
2) Variante neumatica in rosso:
3) Indicata in rosso la martyria di primo modo pl.
4) Indicata in rosso la martyria di primo modo:

www.tezaurliturgic.ro

ᾠδὴ γ΄

Ἡ σκέπη καὶ λύτρωσις ἡμῶν,
τὸ τεῖχος καὶ κραταίωμα
τῶν εὐφημούντων σε, πολυΰμνητε,
ἀπὸ παντοίων ῥῦσαί με θλίψεων
καὶ τῶν περιστάσεων
τῶν τοῦ βίου πάντοτε,
περιέπουσα καὶ περισῴζουσα.

Nostro riparo e redenzione, difesa e sostegno di coloro che ti onorano, o celebratissima, liberami sempre da angosce di ogni genere e dalle avversità della vita, proteggendomi e preservandomi.

Δέσποινα τοῦ κόσμου ἀγαθή,
τοῦ μόνου φιλοικτίρμονος
τοῦ εὐσπλαγχνίας ἔχοντος πέλαγος,
τοῦ σαρκωθέντος ἐκ τῶν πανάγνων σου
αἱμάτων δεήθητι
τοῦ κατοικτειρῆσαί με
τὸν ἀμέτροις κακοῖς συνεχόμενον.

Regina del cosmo buona, prega il Solo che è amico della pietà, che possiede il mare della misericordia, che si è fatto carne per mezzo del tuo purissimo sangue, di aver pietà di me che sono costretto da innumerevoli mali.

Ἔχουσα συμπάθειαν πολλὴν
καὶ σπλάγχνα φιλοικτίρμονα
καὶ ὑπὲρ ἔννοιαν χρηστότητα
ἐπ᾽ἐμὲ ταῦτα δεῖξον, πανάμωμε,
τὸν εἰς σὲ προστρέχοντα,
καὶ τῶν παραπτώσεων
τῶν ἀπείρων τὴν ἄφεσιν δίδου μοι.

Tu che hai molta compassione, pietà misericordiosa e bontà al di sopra dell’intelletto, mostra a me, che accorro a te, tali virtù, o Irreprensibile, e concedimi la liberazione dalle infinite colpe.

Ἡ μήτρα σου ὤφθη ἀληθῶς,
Μαρία ἀειπάρθενε,
τοῦ οὐρανοῦ πλατυτέρα, χωρήσασα
τὸν Βασιλέα καὶ Ποιητήν τοῦ παντός,
τὸν πάσῃ ἀχώρητον
τῇ κτίσει ὑπάρχοντα
τῇ δυνάμει αὐτοῦ τῆς Θεότητος.

Il tuo ventre, Maria Semprevergine, è apparso davvero più vasto del cielo, poiché ha dato forma al Re e Artefice di tutto, che tutta la creazione non può contenere per la potenza della sua divinità.

heirmus: Ὁ μόνος εἰδώς, EE 1 p. 1

27 πανάμωμε SP sed contra metrum πολυΰμνητε Nikod., Eustrat. sed numquam in Photii hymnis fort. παναμώμητε? **31** καὶ περισῴζουσα] ὅπως δοξάζω σε Nikod., Eustrat. **41** χρηστότητα SP ἀγαθότητα Nikod. Eustrat. **42** πανάμωμε] πανάχραντε Nikod., Eustrat. **45** τῶν πολλῶν δικαιῶσαι βουλόμενον SP τῶν ἀπείρων τὴν ἄφεσιν δίδου μοι Nikod., Eustrat. et ego usus scribendi causa **46-52** om. SP

www.tezaurliturgic.ro

I canone I ode, sulla melodia di: Ὁ μόνος εἰδώς

I modo autentico



1) Variante neumatica in rosso:
2) Martyria di primo modo in rosso
3) Variante neumatica in rosso:
4) Martyria di primo pl.

www.tezaurliturgic.ro

ᾠδὴ δ΄

Σῶσόν με, Παρθένε ἀπειρόγαμε, σῶσόν με,
μή με παρίδῃς, ἀγαθή,
καταπονούμενον δεινῶς
ἡδοναῖς καὶ πάθεσι
καὶ λογισμοῖς βεβήλοις καὶ πονηρίας
μεστοῖς
καὶ τῶν δαιμόνων ταῖς παρενοχλήσεσιν.

Salvami, o Vergine inesperta di nozze, salvami; non abbandonarmi, o Buona, poiché sono tremendamente tormentato da piaceri e passioni, ragionamenti impuri e colmi di malvagità e dalle persecuzioni dei demoni.

῾Ικέτης προσέρχομαι τῇ σκέπῃ σου, ἄχραντε,
καὶ ἐκβοῶ ἀπὸ θερμῆς
καὶ κατωδύνου μου ψυχῆς,
ἐλέησον, ῥῦσαί με
ἐκ τοῦ πυρὸς τῆς αἰωνίου κολάσεως,
ταῖς σαῖς ἀχράντοις πρὸς Θεὸν δεήσεσιν.

Supplice giungo al tuo riparo, o pura, e grido dalla mia anima fervente e sofferente: abbi pietà, liberami dal fuoco della dannazione eterna, con le tue pure suppliche a Dio.

Σαρκός μου τὴν ἔκλυσιν ψυχῆς τε τὴν πάρεσιν
τῇ ῥωστικῇ τῆς σῆς ῥοπῆς
ἰσχύϊ, Δέσποινα ἁγνή,
ἀνάκτησον, πρόσφορον
ταύταις σαφῶς τὴν θεραπείαν παρέχουσα
πρὸς ἐργασίαν τοῦ θείου θελήματος.

Risana la debolezza della mia carne e l’accidia dell’anima con la forza energica del tuo intervento, o Regina santa, procurando in modo evidente la cura adatta per questi mali, affinché io compia il divino volere.

Τὸ μέγα καὶ πάνσεπτον καὶ θεῖον μυστήριον
τῆς ἀποκρύφου τοῦ Θεοῦ
βουλῆς ἐν σοὶ παναληθῶς,
ἁγνή, πεφανέρωται,
ὅτι αὐτὸς ὁ κατ᾽οὐσίαν ἀχώρητος
τῇ κτίσει πάσῃ, ἐν σῇ γαστρὶ κεχώρηται.

Il grande, santissimo e divino mistero del volere segreto di Dio in te davvero, o santa, è stato svelato, poiché Colui che è per sostanza incontenibile nell’intera creazione ha trovato un limite nel tuo ventre.

heirm.: ῎Ορος σε τῇ χάριτι, EE 1 p. 1

55 δεινῶς] δεινοῖς Nikod., Eustrat. **58** ταῖς om. Nikod., Eustrat. **59-64** secundum post tertium trop. SP **59** τῇ σκέπῃ σου ἄχραντε] σοὶ θεοχαρίτωτε SP **60** ἐκβοῶ] βοῶ SP **61** καὶ om. Eustrat. metri causa **63** τῆς] καὶ SP **64** ταῖς σαῖς ἀχράντοις πρὸς Θεὸν δεήσεσιν] ταῖς πρὸς Θεὸν σαῖς ἀχράντοις δεήσεσιν Nikod., Eustrat. aptius metro, sed verborum ordo turbatus vid. **65** Σαρκός μου τὴν ἔκλυσιν, ψυχῆς μου τὴν πάρεσιν Eustrat. **67** ἁγνή] σεμνή Nikod. Eustrat. **70** πρὸς ἐργασίαν τοῦ θείου θελήματος] θεογεννῆτορ πανάμωμε Δέσποινα SP, lectio facilior, sed fort. genuina **71-76** om. SP, trop. ineditum, sed parum photianum vid.

www.tezaurliturgic.ro

I canone IV ode, sulla melodia di: Ὄρος σε I modo autentico



1) Trascrizione del segno sovrastante, che "corregge":

2) Correzione cf. G

* Martyria non visibile

www.tezaurliturgic.ro

ᾠδὴ ε΄

῾Η λυχνία
ἡ χρυσῆ ἡ τὸ θεῖον λαμπάδιον
κατέχουσα,
τῶν παθῶν μου τὸν γνόφον σκεδάσασα
τὸν τοῦ θείου ἔρωτος
πυρσὸν ἐν τῇ ἐμῇ καρδίᾳ,
παρθενομῆτορ, διάναψον.

Tu che sei *il candelabro d'oro che sostiene la fiaccola divina*, disperdendo l'oscurità delle mie passioni, accendi nel mio cuore il fuoco dell'amore divino, o vergine-madre.

Πολυπλόκους
μηχανὰς καὶ ἐνέδρας τοῦ δράκοντος
τοῦ δολίου,
Θεοτόκε παρθένε, διάλυσον
ἃς κατὰ τοῦ δούλου σου
ἐπινοεῖται πολλῷ φθόνῳ
τοῦ συλλαβεῖν με πειρώμενος.

O Genitrice di Dio vergine, sciogli le trappole intricate e gli agguati del serpente ingannatore che esso escogita con molta invidia contro il tuo servo, tentando di catturarmi.

᾽Απορήσας
ἐξ ἁπάσης βοηθείας, ἄχραντε,
ἀνθρωπίνης,
πρὸς τὴν σὴν ὀξυτάτην ἀντίληψιν
εὐλαβῶς προσέδραμον,
σύ με τῆς σῆς προμηθείας
καὶ εὐμενείας ἀξίωσον.

Privo di ogni aiuto umano, o Pura, corsi con devozione sino al tuo altissimo sostegno; tu rendimi degno della tua attenzione e della tua benevolenza.

Νομικοί σε
καὶ σκιώδεις προέφαινον ἔσεσθαι
τύποι πάλαι
Θεοτόκον ἁγνὴν παναμώμητον,
ἡμεῖς δὲ κατέχοντες
ἔργῳ νῦν τούτων τὰς ἐκβάσεις
ἀκαταπαύστως ὑμνοῦμέν σε.

Un tempo segni adombrati nella Legge mosaica preannunciarono che ci sarebbe stata la Generatrice di Dio santa; noi, che possediamo nei fatti la realizzazione di queste prefigurazioni, incessantemente ti esaltiamo.

heirmus: ῾Ο φωτίσας / τῇ ἐλλάμψει, EE 1 p. 1

77 ῾Η om. SP **80** τῶν παθῶν] τῶν ἡμῶν παθῶν Nikod., Eustrat. sed contra metrum **83** παρθενομῆτορ] Θεογεννῆτορ Nikod., Eustrat. **89** πολλῷ φθόνῳ] πανουργίᾳ Nikod. Eustrat. **91** ἁπάσης] ἀπάτης Eustrat. **98-104** om. SP

77 sq. cf. *Zc* 4, 2



1) Trascrizione dei neumi superiori, varianti di
2) Correzione sulla base di G
3) Martyria πg

Annotazioni metriche: il secondo troparion di ogni ode non ha ossitonia finale, come invece l'irmo. Semplice l'adattamento alla melodia, poiché tutte le sillabe sono intonate sulla stessa nota. Il v. 79 ha accento sulla seconda invece che sulla terza sillaba, tuttavia l'adattamento melodico non pare compromesso.

www.tezaurliturgic.ro

ᾠδὴ ϛ΄

᾽Ανάκτορον Θεοῦ παναγιώτατον,
πρεσβείαις σου καθάρισον
τὴν ψυχήν μου καὶ τὸ σῶμα καὶ τὸν νοῦν
ἐκ βεβήλων ἔργων καὶ αἰσχρῶν λογισμῶν
καὶ τοῦ ἐκ σοῦ
ἀποτεχθέντος ναόν με ποίησον.

Santuario santissimo di Dio, purifica con la tua intercessione la mia anima, il corpo e la mente da azioni impure e ragionamenti vergognosi, rendimi tempio di Colui che da te è stato generato.

Γαλήνῃ νοητῇ σύ με προσόρμισον,
τὴν ζάλην καὶ τὸν τάραχον
τῶν παθῶν μου κατευνάζουσα, σεμνή,
καὶ τὴν τρικυμίαν ἐκδιώκουσα
τῶν ἡδονῶν,
ἡ τὴν γαλήνην τὴν θείαν τέξασα.

Fammi approdare all’intelligibile bonaccia, placando la tempesta e il turbamento delle mie passioni, o veneranda, scacciando i marosi dei piaceri, tu che hai generato la divina bonaccia.

Ναμάτων μυστικῶν τῶν σῶν δεήσεων
τὴν καύσωνι πταισμάτων πολλῶν
ἐκτακεῖσάν μου καρδίαν, ἀγαθή,
ἔμπλησον καὶ δεῖξον καρποφόρον αὐτὴν
θεοφιλῶν
καὶ θεαρέστων λόγων καὶ πράξεων.

Riempi coi rivi mistici delle tue suppliche il mio cuore che è venuto meno per il calore di molti peccati, o buona, e mostralo pronto a portare i frutti dei pensieri e delle azioni cari e graditi a Dio.

῾Ως οὖσα καθαρὰ καὶ πανακήρατος
Λόγον τὸν ἀκήρατον
ὑπεδέξω ἐν νηδύϊ σου, σεμνή,
καὶ τοῦτον ἐγέννησας εἰς λύτρωσιν
τῶν γηγενῶν
τῶν Προπατόρων τῆς ἀποφάσεως.

Poiché sei incontaminata e tutta immacolata, hai accolto nel tuo ventre il Verbo immacolato, o veneranda, e l’hai generato per la redenzione dei terrigeni dalla disobbedienza dei Progenitori.

heirmus: ᾽Εκύκλωσεν ἡμᾶς, EE 1 p. 1

107 καὶ τόν] τε καὶ SP **108** λογισμῶν] ἐννοιῶν Nikod., Eustrat. **111** προσόρμισον] προόρμισον Eustrat. **118** τὴν καύσωνι πταισμάτων πολλῶν] τῷ τῶν πταισμάτων καύσωνι Nikod., Eustrat. aptius metro, fort. non ope codicum, sed ingenii scriptum **122** λόγων] ἔργων SP **123-128** om. SP **124** τὸν om. Eustrat. fort. τὸν Λόγον τὸν ἀκήρατον metri causa **post 128** Κάθισμα, ῞Ηχος α΄, πρὸς τό· Τὸν τάφον σου, Σωτήρ, inc. ᾽Ασπόρως τὸν Χριστὸν ἀπεκύησας μόνη edidit Nikod., alibi iam notum (MR III p. 387, MV V, p. 201)

128 cf. *Gn* 3

I canone VI ode, sulla melodia di: ’Εκύκλωσεν — I modo autentico



1) Variante neumatica superiore:
2) Martyria di primo modo pl.
3) Variante neumatica:
4) Martyria di primo modo pl. a cui segue nella sillaba seguente l'ison "confermatore" accompagnato da oxeia

* Martyria non visibile

Annotazioni metriche: il IV verso di ogni tropario ha una sillaba in più dell’irmo (in base allo schema accentuativo e melodico di quest’ultimo, la sillaba eccedente dovrebbe essere la prima). Il secondo verso del IV tropario ha una sillaba in meno dell’irmo; si propone l’integrazione dell’articolo τὸν, che permetterebbe la coincidenza dell’accento di Λόγον con ἔστιν dell’irmo e con l’*oxeia* dei tre codici musicali considerati.

www.tezaurliturgic.ro

ᾠδὴ ζ΄

Πίστει πολλῇ
καὶ πόθῳ προσέρχομαι
τῇ θείᾳ σκέπῃ σου, σεμνή,
σὺ γενοῦ μοι καταφυγή,
σύ μοι ἱλαστήριον
σύ με ἀπολύτρωσαι
ἐκ τῶν κινδύνων καὶ θλίψεων
καὶ πειρασμῶν, Θεοτόκε
παρθένε ἀπειρόγαμε.

Con molta fede e desiderio giungo alla tua divina protezione, o Veneranda, tu sii per me rifugio, tu per me redenzione, tu liberami dai pericoli e dalle angosce e dalle tentazioni, o Genitrice di Dio, Vergine inesperta di nozze.

᾽Ανατολὴ
τοῦ ἡλίου, Δέσποινα,
τοῦ νοητοῦ, ὡς συμπαθής,
σὺ τῇ αἴγλῃ τῇ παμφαεῖ
τῆς θείας πρεσβείας σου
φαῦσον μετανοίας μοι
ἀνατολήν, ἐκδιώκουσα
τὴν ζοφερὰν τῶν παθῶν μου
ὁμίχλην καὶ πταισμάτων μου.

Tu che fai sorgere il sole intelligibile, Regina, poiché hai compassione di noi, con la luce sfavillante della tua divina intercessione fa' brillare per me l'alba della conversione, scacciando la nebbia oscura delle mie passioni e dei peccati.

῾Ρῦσαι ἡμᾶς
τοὺς ἀνευφημοῦντάς σε
τῆς τυραννίδος τοῦ ἐχθροῦ
τοῦ ζητοῦντος μανιωδῶς
τὴν ἡμῶν ἀπώλειαν
καὶ τούτου ματαίωσον
τὴν πονηρίαν, Πανάμωμε,
καὶ μηχανὴν αὐτοῦ πᾶσαν,
δυνάμει σου ἀμβλύνουσα.

Libera noi, che ti celebriamo, dalla tirannide del nemico, che cerca follemente la nostra rovina, vanifica la sua malvagità, o Irreprensibile, e ogni suo intrigo, placando(lo) con la tua potenza.

Θρόνον Θεοῦ
καὶ παστάδα ἔμψυχον,
Θεογεννῆτορ, οἱ πιστοὶ
ἐπιγνόντες σε ἀληθῶς
πίστει ἐκβοῶμέν σοι·
Σῷζε τοὺς οἰκέτας σου
ἀπὸ πασῶν περιστάσεων,
ὅπως ἀεὶ εὐλογοῦμεν,
ἁγνή, καὶ προσκυνοῦμέν σε.

Riconoscendoti davvero come trono di Dio e talamo spirituale, o Generatrice di Dio, noi tuoi fedeli con fede gridiamo a te: "Salva i tuoi servi da ogni peccato, affinché sempre ti benediciamo, o santa, e ti riveriamo".

heirmus: Σὲ νοητήν, EE 1 p. 1 **133** μοι] μου SP **137** Παρθένε ἀπειρόγαμε] καὶ νόσων καὶ κακώσεων Nikod., Eustrat. **145 sq.** τὴν ζοφερὰν τῶν παθῶν ὁμίχλην καὶ τῶν πταισμάτων μου SP **140** τοῦ νοητοῦ, ὡς συμπαθής Nikod., Eustrat. aptius metro quam Πανάμωμε τοῦ νοητοῦ in SP **153 sqq.** τὴν πονηρὰν παρθένε ἀσέβειαν· πᾶσαν αὐτοῦ· κακουργίαν ἐξαφανίζουσα SP **156-164** om. SP
157 cf. *Ps* 18, 6 (νυμφίος ἐκ παστοῦ figura Christi e Virgine nati)

www.tezaurliturgic.ro

I canone VII ode, sulla melodia di: Σὲ νοητήν

I modo autentico



1) Martyria di nanà seguita da ison confermatore. Sulla seconda sillaba petastè variante di bareia con oligon

2) Martyria di primo modo, seguita da un ison confermatore

3) In P: ὅλον με τὸν ἄνθρωπον διʼεὐσπλαγχνίαν ἀκατάληπτον è variante testuale, mentre il testo in H e G è κόσμον ἀνεκαίνισεν ἐν τῇ γαστρί σου ὁλόκληρον

* Martyria non visibile

www.tezaurliturgic.ro

ᾠδὴ η΄

Ἐπὶ πέτραν στῆσον ἀσφαλῆ
τῆς τοῦ Θεοῦ ἀγάπης
τὰς βάσεις τὰς τῆς ψυχῆς μου
καὶ παθῶν ταῖς προσβολαῖς
φύλαξον ἀκλόνητον,
Θεοτόκε· ἵνα ἑδραίᾳ καρδίᾳ
ἀναμέλπω,
καὶ δοξολογῶ σε
πιστῶς εἰς τοὺς αἰῶνας.

Fissa alla roccia sicura dell'amore di Dio le fondamenta della mia anima e custodiscile dai turbamenti delle passioni senza scosse, o Genitrice di Dio, affinché io possa cantare a te con il cuore saldo e glorificarti con fede per tutti i secoli.

Νεύρωσόν μου, Δέσποινα ἁγνή,
τὸν τόνον τῆς καρδίας,
ἰσχύν με κατὰ παθῶν
περιζωννῦσα τὴν σήν,
καὶ τηροῦσα ἄτρωτον
ἐκ τῆς τούτων ἐπικρατείας καὶ πικρᾶς
τυραννίδος·
ἵνα σε δοξάζω
ἀεὶ ἐν εὐθυμίᾳ.

Rafforza le fibre del mio cuore, o Signora santa, cingendomi con la tua forza contro le passioni e custodiscimi invulnerabile alla potenza di queste e dall'amara tirannia, affinché io possa sempre glorificarti con gioia.

Ὦ παρθένε Δέσποινα ἁγνή,
γραφικῶς ἡ ψυχή μου
ὀπίσω σου ἐκολλήθη,
διὸ ἔκτεινον τὴν σὴν
δεξιὰν τὴν ἄχραντον
καὶ ἐν πᾶσιν ἀντιλαβοῦ μου, σκέπουσα
καὶ φρουροῦσα
καὶ τῆς αἰωνίου
χαρᾶς καταξιοῦσα.

O vergine Regina veneranda, *a te si stringe l'anima mia*, secondo le Scritture, perciò tendi la tua destra pura e in tutte le occasioni sostienimi, proteggendomi e difendendomi e rendendomi degno della gioia eterna.

Φωτοφόρον σκήνωμα Θεοῦ
ἐδείχθης, Θεοτόκε,
καὶ ἔμψυχον καὶ ἁγνότατον
παλάτιον, σεμνή,
καὶ θρόνος πυρίμορφος
τῆς ἀστέκτου θείας οὐσίας· διό σε
ἀνυμνοῦμεν
καὶ δοξολογοῦμεν
πιστοὶ εἰς τοὺς αἰώνας.

Tu ti sei mostrata abitazione luminosa di Dio, o Genitrice di Dio, e spirituale e purissimo palazzo, o veneranda, e trono dall'aspetto di fuoco dell'incontenibile sostanza divina; perciò ti lodiamo e ti glorifichiamo fedeli per tutti i secoli.

heirmus: Ἐν καμίνῳ παῖδες Ἰσραήλ, EE 1 p. 1

177 περιζωννύουσα Nikod., Eustrat. **179** πικρᾶς] σφοδρᾶς Nikod., Eustrat. **181 sq.** post δοξά terminus troparii SP **183** ἁγνή] σεμνή Nikod., Eustrat. **192-200** om. SP

184 cf. *Ps* 62, 9 **195 sq.** cf. *IRe* 7, 2; *Dan* 7, 9

www.tezaurliturgic.ro

VIII ode, sulla melodia di: ’Εν καμίνῳ παῖδες

I modo autentico



1) Correzione in base a G

2) Presenza di gorgò (accelerando) e parakletikè (legato)

3) Correzione per terminare "correttamente" sul la

4) Martyria di primo modo pl. παα

* Martyria non distinguibile con chiarezza.

www.tezaurliturgic.ro

ᾠδὴ θ΄

Ὤφθης αἴγλη καθαρότητος
πᾶσαν τὴν κτίσιν ὑπεραίρουσα, πάναγνε,
ἀλλὰ δέξαι με
τὸν μολυσμοῖς καταχράναντα
ἡδονῶν ὑπὲρ ἅπαντα ἄνθρωπον,
ψυχήν τε καὶ τὸ σῶμα
ταῖς σαῖς πρεσβείαις ἀποκάθαρον.

Sei apparsa luce di purezza che innalza tutta la creazione, o santissima, orsù accogli me, che sono lordato dalle macchie dei piaceri più di ogni altro uomo e purifica con la tua intercessione l'anima e il corpo.

Τρίβοις θείαις ἐκβιβάζουσα
τῆς μετανοίας τὴν ψυχήν μου, ἐπίστρεψον
ἐξ ὁδοῦ, ἁγνή,
τῆς ἐπαγούσης εἰς θάνατον
καὶ πρὸς ὄλεθρον ὄντως αἰώνιον,
παρθένε Θεοτόκε,
ἁμαρτωλῶν τὸ ἱλαστήριον.

Indirizzando sui sentieri divini della conversione la mia anima, distoglila dalla strada, o santa, che conduce alla morte e verso la rovina davvero eterna, o vergine Genitrice di Dio, mezzo di redenzione dei peccatori.

Ἴθι, παναγία Δέσποινα,
πρὸς τὴν ἐμὴν εὐτελεστάτην διάνοιαν,
εὐσπλαγχνίᾳ σου
καὶ συγκαταβάσει καὶ οἰκτῳ πολλῷ
χρησαμένη, καὶ δίδου κατάνυξιν
τῶν πολλῶν ὀφλημάτων,
τὸν ἱλασμὸν παρεχομένη μοι.

Giungi, o santissima Regina, alla mia mente che nulla vale, con la tua misericordia, la tua condiscendenza e la tua molta pietà, e concedimi la remissione delle mie molte colpe, offrendomi la redenzione.

Ὅλον ἐμαυτὸν προσάγω σοι
καὶ τὴν ἐλπίδα πᾶσαν τῆς σωτηρίας μου
ἀνατίθημι
ἐν σοί, παρθένε, περίσῳζε
ἐκ παντοίων κινδύνων καὶ θλίψεων
καί, δέομαι, τοῖς τούτων
πειρατηρίοις ἐλευθέρωσον.

Ti affido tutto me stesso e in te pongo ogni speranza per la mia salvezza, o Vergine, preservami da pericoli e angosce di ogni genere e, ti prego, liberami dalle minacce di questi.

heirmus: Τύπον τῆς ἀγνῆς λοχείας σου, EE 1 p.1

201-207 om. SP **201** αἴγλη] αἴγλῃ Eustrat. **207** καὶ ταῖς πρεσβείαις Nikod., Eustrat. ταῖς σαῖς πρεσβείαις ego **210** ἁγνή om. SP **211** ἀπαγούσης omnes ἐπαγούσης ego **213** παρθένε] Μαρία Nikod., Eustrat. **215-228** sic SP Nikod., Eustrat. duo sqq. troparia scribunt: Ἰνατί με ἐγκατέλιπες· φῶς τῶν ἐμῶν ὀμμάτων καὶ ἀγαλλίαμα τῆς καρδίας μου· καὶ πειρασμοί με ἐκύκλωσαν; ἀλλ' οἰκτείρησον, Κόρη, καὶ σῶσόν με· ἐκ πάντων τῶν λυπούντων, τῶν θλιβομένων ἡ παράκλησις. Ὄρος τοῦ Θεοῦ πανάγιον· ὃ δεξιὰ Κυρίου προκατειργάσατο· ἀπωλείας με περιπλανώμενον ὄρεσι· καὶ κρημνοῖς καὶ βαράθροις ὠθούμενον· ζητήσασα πρὸς ὄρος· τῆς ἀρετῆς χειραγώγησον. **218** συγκαταβάσει καὶ οἴκτου πολλοῦ SP καὶ συγκαταβάσει καὶ οἰκτῳ πολλῷ ego

www.tezaurliturgic.ro

Ὕμνον εὐλαβῶς προσφέρομεν
τῷ σῷ ἀσπόρῳ τόκῳ †διὰ σοῦ†, Δέσποινα πανυπέραγνε,
καὶ σὲ ἀπαύστως δοξάζομεν,
δυσωποῦντες ῥυσθῆναι κολάσεως
τοὺς πόθῳ σε τιμῶντας
καὶ ὀρθοδόξῳ πίστει σέβοντας.

Con devozione ti indirizziamo un inno per il tuo parto senza seme per tuo tramite, o Regina purissima, e incessantemente ti glorifichiamo, supplicandoti affinché siamo liberati da ogni punizione, noi che con desiderio ti onoriamo e con fede retta ti veneriamo.

229-235 om. SP **230** cruces posui ego

www.tezaurliturgic.ro

I canone IX ode, sulla melodia di: Τύπον

I modo autentico



1) Martyria di primo modo con quinta ascendente

* Matyria non visibile

[M.III.] Canone alla Genitrice di Dio, III modo autentico, su ‘Ο τὰ ὕδατα πάλαι

Acrostico: Τρίτη δέησις τῇ πανευκλεεῖ Κόρῃ· Φωτίου

Sigla

Edizioni:

Nikod.: Nikodemos Naxios Hagioreites, *Στέφανος τῆς ’Αειπαρθένου, ἤτοι Θεοτοκάριον, νέον ποικίλον καὶ ὡραιότατον ὀκτώηχον* […] *καὶ νῦν πρῶτον τύποις ἐκδοθέν*, ’Ενετίῃσι 1796, pp. 63-66

Eustrat.: S. Eustratiades, *Θεοτοκάριον*, ‘Αγιορειτικὴ βιβλιοθήκη, Chennevières-sur-Marne 1931, pp. 314-317

Codici:

Sin781: Sinai, Μονὴ τῆς ‘Αγίας Αἰκατερίνης gr. 781, saec. X-XI, ff. 112v-116r

P: Paris, *Bibliothèque Nationale* gr. 370, saec. XII, ff. 49v-52v

Pan: Istanbul, Πατριαρχικὴ βιβλιοθήκη, Panaghia 117, saec. XVI inc., ff. 57r-61r

L’edizione di Nicodemo l’Agiorita, ristampata da Eustratiades, il quale pur segnalando il codice P come testimone dell’inno non se ne serve per la costituzione del testo, restituisce un canone per nulla “foziano”, poiché intere odi sono costituite da tropari che appartengono ad altri canoni, principalmente del Mauropode, editi da Eustratiades stesso nel suo *Theotokarion*, senza che egli avverta in alcun modo il suo lettore della duplicazione. Qualunque fosse la destinazione originaria dei tropari in questione, lo stile di molti di essi appare sicuramente non foziano, per la maggiore ricchezza di metafore e l’aggettivazione più ricca.

In questa edizione si è proceduto a sostituire i tropari stampati da Nicodemo con quelli che restituiscono in modo concorde i codici Sin781, P e Pan, i quali rispettano in modo preciso l’acrostico e sinora sono inediti. Lo stile di questi, inoltre, non pare dissimile da quello conosciuto per l’opera innografica di Fozio.

Laddove invece i tropari traditi dai tre manoscritti e quelli stampati da Nicodemo coincidono, si nota nel testo a stampa (sin dalla sua prima edizione, del 1796) un’esattezza metrica superiore a quella normalmente presente negli inni foziani, anche a scapito della fluidità sintattica, cosa che potrebbe indurre a sospettare un intervento di *emendatio* dell’Agiorita, purtroppo non verificabile, poiché non è nota la fonte manoscritta utilizzata, e pertanto mai si è intrapreso uno studio critico analitico del metodo di lavoro seguito da Nicodemo.

www.tezaurliturgic.ro

ᾠδὴ α΄

Τὸν ἐν σοὶ ἀπορρήτως,
Παρθενομῆτορ, σκηνώσαντα
Θεὸν Λόγον δυσώπει
τῶν παθῶν ῥύσασθαι
τῆς ἀτιμίας με,
καὶ δοῦναι κατάνυξιν
τῇ ταπεινῇ μου καρδίᾳ·
καὶ τῶν ὀφλημάτων μου
τὸν ἱλασμὸν παρασχεῖν.

Colui che in te straordinariamente ha preso dimora, o Vergine-Madre, il Verbo Dio, supplicalo di liberarmi dalla vergogna delle passioni, di concedere il pentimento al mio misero cuore e di offrire il perdono dei miei debiti.

῾Ρυπωθεῖσαν ἐξ ἔργων
ἀτοπωτάτων, πανάχραντε,
τὴν ἀθλίαν ψυχήν μου,
ῥυπτικοῖς νάμασι
τῆς εὐσπλαγχνίας σου,
ταύτην ἀποκάθαρον,
ναὸν αὐτὴν τοῦ ἁγίου
καὶ πανσέπτου Πνεύματος
ἀποτελοῦσα φαιδρόν.

O purissima, con i rivi della tua misericordia che mondano purifica la mia misera anima, sporcata da opere inammissibili, rendendola tempio luminoso del santo e veneratissimo Spirito.

῾Ιλαστήριον θεῖον
τὴν σὴν πρεσβείαν γινώσκοντες,
Θεοτόκε παρθένε,
ἐν αὐτῇ ἅπαντες
πιστῶς προστρέχομεν
καὶ λύσιν εὑρίσκομεν
τῶν χαλεπῶν ἐγκλημάτων
καὶ διασῳζόμεθα
ἀπὸ παντοίων κακῶν.

Conoscendo la tua intercessione come divino strumento di riconciliazione, o Genitrice di Dio vergine, accorriamo ad essa tutti con fede, troviamo redenzione dalle terribili colpe e siamo salvati da mali di ogni genere.

heirmus: ῾Ο τὰ ὕδατα πάλαι, EE 95 p. 67

tit.: Sin781 f. 112v: Κανὼν παρακλητικὸς τῆς ὑπεραγίας Θεοτόκου φέρων ἀκροστιχίδα τήνδε· Τρίτη δέησις τῇ πανευκλεεῖ Κόρῃ
P f. 49v: ῾Ο κανὼν
Pan f. 57r: τῇ β΄ ἑσπέρας κανὼν παρακλητικὸς φέρων ἀκροστιχίδα τήνδε· Τρίτη δέησις τῇ πανευκλεῆ (sic) Κόρη

3 om. Pan **19** ῾Ιλασθήριον Pan **19-27:** ῾Ιλαστήριον θεῖον, Θεοτόκε Παρθένε, ὑπάρχουσα χριστωνύμοις ἀνθρώποις· εἰς σὲ ἅπαντες πιστῶς προστρέχομεν, καὶ λύσιν εὑρίσκομεν τῶν χαλεπῶν ἐγκλημάτων· καὶ διασῳζόμεθα ἀπὸ παντοίων κακῶν Nikod. fort. ope ingenii ῾Ιλαστήριον θεῖον <καὶ ἱατρεῖον σὲ ἔχοντες> Θεοτόκε Παρθένε, ἐν σοὶ ἅπαντες con. Eustrat. metri causa ignoscens codicum lectionem **23 sq.** προστρέχωμεν, εὑρίσκωμεν P

16 sg. ναὸν […] ἁγίου […] Πνεύματος: cf. *ICor* 6, 19

www.tezaurliturgic.ro

Ταπεινή μου καρδία,
τὴν Θεοτόκον τὴν ἔχουσαν
οἰκτιρμοὺς ἀμετρήτους,
τὴν βροτοὺς σῴζουσαν
ἀπὸ ποικίλων παθῶν
εὑροῦσα προστάτιν σου,
πρόσπεσον ταύτῃ βοῶσα·
Δέσποινα πανάχραντε,
σπεῦσον βοήθει μοι.

Mio misero cuore, trovando come tua protettrice la Genitrice di Dio, che ha infinita compassione, che salva i mortali da passioni di ogni genere, riveriscila gridando a lei: “O Regina purissima, affrettati ad aiutarmi”.

28-36 Τὴν Παρθένον Μαρίαν, ὦ ψυχή μου, τὴν ἔχουσαν, οἰκτιρμοὺς ἀμετρήτους, καὶ βροτοὺς σῴζουσαν, ἀπὸ ποικίλων κακῶν, εὑροῦσα προστάτιν σου, πρόσπεσον ταύτῃ βοῶσα· Δέσποινα πανάχραντε, σπεῦσον βοήθει μοι Nikod., Eustrat. **29** τὴν] ὡς P

www.tezaurliturgic.ro

III canone I ode, sulla melodia di: Ὁ τὰ ὕδατα πάλαι — III modo autentico



* Martyria non visibile

Annotazioni metriche: il quinto verso dei primi tre tropari, di finale proparossitono, corrisponde ad un’ossitonia finale nell’irmo e nell’ultimo tropario. Al contrario, l’irmo e l’ultimo tropario presentano finale proparossitono nell’ultimo verso, mentre i primi tre tropari hanno l’ultima sillaba accentata.

www.tezaurliturgic.ro

ᾠδὴ γ΄

Ἡ ἀνωτέρα
τῶν οὐρανίων νοῶν,
ἡ πάντων δεσπόζουσα
τῶν ποιημάτων, ἄχραντε·
σὺ γενοῦ προστάτις μου
ἐν ὥρᾳ δίκης φρικτῆς,
ἁγνὴ παρθένε.

Più alta delle Intelligenze celesti, signora di ogni cosa creata, o pura, tu sii mia difesa nell'ora del tremendo giudizio, o santa vergine.

Διὰ παντός σοι
ἐκ βάθους μου τῆς ψυχῆς
ἀνακραυγάζω
καὶ σὲ ἐπικαλοῦμαι θερμῶς·
μὴ οὖν ἀπορρίψῃς με
ἀπὸ τοῦ σοῦ προσώπου κενόν,
ἁγνὴ Παρθένε.

Continuamente, dalle profondità della mia anima a te grido e ti invoco con fervore: non allontanarmi a mani vuote dal tuo volto, o santa Vergine.

Ἐλέησόν με,
ἐλέησόν με, ἁγνή,
προσπίπτοντά σοι
καὶ δάκρυσιν αἰτούμενον
τῶν παραπτωμάτων μου
λαβεῖν τὴν ἄφεσιν,
πρὸ τέλους σπεῦσον.

Abbi pietà di me, abbi pietà di me, o santa, che ti riverisco e prego piangendo di ottenere la redenzione dei miei peccati, affrettati prima della fine.

Ἡ θεία πύλη
τοῦ βασιλέως Χριστοῦ,
δι᾽ ἧς διῆλθε
καὶ κόσμῳ πεφανέρωται·
πύλας μοι διάνοιξον
τῆς κατανύξεως
καὶ μετανοίας.

Porta divina di Cristo Re, tramite la quale Egli passò e apparve al mondo; aprimi le porte del pentimento e della conversione.

heirmus: Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγών, EE 95 p. 67

42 sq. ἐν ὥρᾳ δίκης ἁγνή· παρθενομῆτορ Pan **43** ἁγνὴ παρθένε] θεογεννῆτορ Nikod., Eustrat. **46** ἀνακραυγάζω Sin781, P et Pan, deficiunt duo syll. κραυγάζω θεόνυμφε Nikod., Eustrat. **47** καὶ σὲ ἐπικαλοῦμαι θερμῶς] καὶ ἐπικαλοῦμαί σε Nikod., Eustrat. **49 sq.** ἀπὸ τοῦ σοῦ προσώπου κενόν· ἁγνὴ Παρθένε Sin781, P, Pan ἀπὸ προσώπου τοῦ σοῦ κατῃσχυμμένον Nikod., Eustrat. **53 sq.** προσπίπτοντά σοι· καὶ δακρύων αἰτούμενον P βοῶ σοι σὺν δάκρυσιν, ἀεὶ καὶ προσπίπτω σοι Nikod. Eustrat. **57** δυσώπει πρὸ τοῦ τέλους Nikod., Eustrat. **60** Κόρη coni. Eustrat. post δι᾽ ἧς διῆλθε metri causa **64** τε καὶ μετανοίας Sin781, P, Pan ἁγνὴ καὶ μετανοίας Nikod., Eustrat. καὶ μετανοίας ego metri causa

www.tezaurliturgic.ro

III canone III ode, sulla melodia di: Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγών III modo autentico



1) La melodia del finale è stata corretta, tenendo conto dell'ambito del III modo autentico. L'ison avrebbe portato ad un la-sol, anomalo

* Martyria non visibile

Annotazioni metriche:

il terzo verso dell'irmo prevede sette sillabe, mentre nel canone solo il primo tropario segue l'irmo. Il secondo, terzo e quarto tropario, così come traditi dai codici, sono di cinque sillabe. Nel secondo tropario l'edizione di Nicodemo l'Agiorita risolve il problema, ma è ipotizzabile un intervento di *emendatio* dell'editore. Eustratiades integra un κόρη nel IV tropario per la stessa ragione.

Il quarto verso di ogni tropario presenta una struttura accentuativa differente da quella dell'irmo: τελειούμενα Πνεύματι. Il v. 54 ha una sillaba in meno dell'irmo. Il penultimo verso ha sia nell'irmo (ἐν τῇ ἀγάπῃ τῇ σῇ) che nei primi due tropari un finale ossitono. L'ultimo tropario (v. 63) offre invece la comune variante proparossitona, con una sillaba in meno dell'irmo. Per il v. 49 si accetta quanto tradito dai codici, eccedente tuttavia di due sillabe rispetto all'irmo. La lezione che riporta Nicodemo e di conseguenza Eustratiades pare al solito corretta metricamente, ma meno adatta nel contesto dell'ode. L'inserimento nella linea melodica di due sillabe eccedenti al v. 49 non pare problematica, in quanto esse possono essere intonate laddove i codici musicali H, G e P in modo concorde presentano una nota lunga (segnalata da ﴾ o ﴾﴾).

www.tezaurliturgic.ro

ᾠδὴ δ΄

Στήριξον ἡμᾶς
κλονουμένους αὔραις τῶν θλίψεων
καὶ τῶν ἀναγκῶν καὶ πειρασμῶν,
ἐπὶ τὴν πέτραν τῆς σωτηρίας, ἁγνή·
πᾶσαν ἀποτρέπουσα
καθ᾽ἡμῶν βλάβην
τοῦ δολίου δράκοντος.

Fissa alla roccia della salvezza noi, che siamo agitati dai venti delle angosce, delle necessità e delle tentazioni, o santa, allontanando ogni danno del serpente ingannatore contro di noi.

῞Ιλεων ἡμῖν
τὸν Σωτῆρα καὶ Ποιητὴν καὶ Θεόν,
Δέσποινα τοῦ κόσμου ἀγαθή,
καὶ εὐμενῆ τοῖς δούλοις σου ποίησον,
ταῖς σαῖς παρακλήσεσι,
καὶ ἱκεσίαις
καὶ θερμαῖς δεήσεσι.

Rendi benigno verso di noi il Salvatore, Creatore e Dio, o Regina del mondo buona, e rendilo benevolo verso i tuoi servi con le tue intercessioni, suppliche e ferventi preghiere.

Σύμμαχος ἡμῖν
καὶ προστάτις φάνηθι, Δέσποινα,
θραύουσα πολέμους πονηροὺς
τῶν νοητῶν ἐχθρῶν καὶ φυλάττουσα
ἀτρώτους καὶ σκέπουσα
ἡμᾶς ἐκ βλάβης
πάσης καὶ κακώσεως.

Appari nostra alleata e difesa, o Regina, annientando le guerre crudeli dei nemici intelligibili, custodendoci incolumi e proteggendoci da ogni danno e malvagità.

Τάχυνον, ἁγνή,
εἰς τὸ βοηθῆσαι καὶ ῥύσασθαι
πάντας τοὺς προστρέχοντας εἰς σέ,
ἀποφιμοῦσα γλώσσας δολίων ἀνδρῶν·
καὶ ἡμῖν παρέχουσα
τῆς σωτηρίας
τῆς σῆς τὴν ἀσφάλειαν.

Affrettati, o santa, ad aiutare e a salvare tutti coloro che accorrono a te, facendo tacere le lingue degli uomini ingannatori e offrendoci la sicurezza della tua salvezza.

῾Η καταφυγὴ
τῶν πιστῶν, ἡ δόξα τοῦ γένους ἡμῶν,
τῶν ἁμαρτωλῶν ὁ ἱλασμός,
ἡ κραταιὰ τοῦ κόσμου βοήθεια
ἐλέησον, οἴκτειρον
τὴν ταπεινήν μου
ψυχήν, παναμώμητε.

Rifugio dei fedeli, gloria della nostra stirpe, redenzione dei peccatori, forte aiuto del cosmo, abbi pietà, abbi misericordia della mia misera anima, o Irreprensibile.

heirmus: ῞Εθου πρὸς ἡμᾶς, EE 95 p. 67

68 ἐπὶ τῇ πέτρᾳ Nikod., Eustrat. **73** τὸν Σωτῆρα πάντων καὶ Κύριον Nikod., Eustrat. **75** τοῖς σοῖς δούλοις ποίησον Pan **84 sq.** ἐκ πάσης βλάβης Nikod., Eustrat. **86-92** Sin781, Nikod., Eustrat. omiserunt P, Pan **93-99** Sin781, P, Pan om. Nikod., Eustrat.

www.tezaurliturgic.ro

IV ode, sulla melodia di: Ἔθου πρὸς ἡμᾶς

III modo autentico



* Martyria non visibile

Annotazioni metriche: finale ossitono diversamente dall'irmo ai vv. 68, 73, 89, 95.

www.tezaurliturgic.ro

ᾠδὴ ε΄

Παῦσον τὸν πόνον
τῆς ταλαιπώρου μου ψυχῆς
καὶ τὰς ὀδύνας τοῦ σώματός μου
πάσας,
ἡ τῶν ψυχῶν ἰατρὸν τεκοῦσα
σωμάτων τε πανάμωμε.

Fa' cessare il dolore della misera anima e ogni sofferenza del mio corpo, Tu che hai generato il medico delle anime e dei corpi, o irreprensibile.

῾Αμαρτημάτων
νύξ με συνέχει, ἀγαθή,
καὶ ἡδονῶν ὁμίχλη με καλύπτει·
τῷ φωτισμῷ τῆς σῆς, Θεοτόκε,
πρεσβείας με καταύγασον.

Notte di peccati mi prende, o Buona, e bruma di piaceri mi nasconde; con la luce della tua intercessione, o Vergine, illuminami.

Νάμασι θείοις
τῶν πρεσβειῶν σου, ἀγαθή,
τὴν ἐκτακεῖσαν τῷ καύσωνι ψυχήν μου
τῶν χαλεπῶν καὶ δεινῶν πταισμάτων
ἐπόμβρισον καὶ σῶσόν με.

Con i rivi divini delle tue intercessioni, o buona, bagna la mia anima liquefatta dal bruciore dei miei duri e terribili peccati, e salvami.

᾽Εν σοὶ προστρέχω,
μή με ἀπώσῃ, ἀγαθή,
μή με παρίδῃς, μή με ἐξουδενώσῃς
ἀλλ᾽εὐμενῶς τῆς σῆς βοηθείας
τὴν χάριν μοι κατάπεμψον.

Accorro a te, non abbandonarmi, o buona, non trascurarmi, non disprezzarmi, ma inviami benevolmente la grazia del tuo aiuto.

heirmus: Πρὸς σὲ ὀρθρίζω, EE 95 p. 67

102 καὶ τὰς ὀδύνας θεράπευσόν μου πάσας Sin781, P καὶ τὰς ὀδύνας μου θεράπευσον πάσας Pan καὶ τὰς ὀδύνας τοῦ σώματός μου πάσας Nikod., Eustrat. **104** Παρθένε ὑπεράγαθε P, Pan **107** ἡ post ἡδονῶν Sin781, P, Pan **108 sq.** τῷ φωτισμῷ τῆς σῆς πρεσβείας· Παρθένε καταλάμπρυνον Nikod., Eustrat. **109** με om. Pan **111** ἀγαθή] Μαριάμ Nikod., Eustrat. **113** καὶ δεινῶν om. Pan **116 sq.** μηδὲ … μηδὲ Nikod., Eustrat.

www.tezaurliturgic.ro

III canone V ode, sulla melodia di: Πρὸς σὲ ὀρθρίζω — III modo autentico



* Martyria non visibile

Annotazioni metriche:
il v. 107 ha una sillaba in meno dell’irmo.

www.tezaurliturgic.ro

ᾠδὴ ϛ΄

Ὕπνος με
κατέλαβεν ὁ δεινὸς
τῆς ἀμελείας
καὶ συνωθεῖ πρὸς θάνατον
ἀπωλείας, Δέσποινα·
αὐτή με διανάστησον
πρὸς μετάνοιαν
καὶ σωτηρίαν δώρησαι.

Mi prese il sonno tremendo della negligenza, e mi spinge verso la morte della perdizione, o Regina; tu fammi risorgere alla conversione e donami la salvezza.

Κύμασι
βυθίζομαι πονηροῖς
τῆς ἁμαρτίας
καὶ τρικυμίαις τῶν ἡδονῶν,
Θεοτόκε, πρόφθασον
καὶ κυβερνήσει θείᾳ σου
πρὸς λιμένα με
μετανοίας ὁδήγησον.

Affogo nelle onde crudeli del peccato e nei flutti dei piaceri, o Genitrice di Dio, affrettati, e con la tua divina guida avviami al porto della conversione.

Λῦσόν μου
τὴν δέσιν τὴν πονηρὰν
τῆς ἁμαρτίας,
ἣν ὁ ἐχθρὸς κατέδησεν,
Θεοτόκε πάναγνε,
ἡ λυτρωτὴν κυήσασα
κατακρίσεως
τῆς ἀρχαίας, καὶ σῶσόν με.

Sciogli la malvagia catena del mio peccato con cui il nemico mi ha legato, o Genitrice di Dio santissima, tu che hai partorito Colui che ci ha redento dall'antica condanna, e salvami.

Ἔχουσα
συμπάθειαν δαψιλῆ
καὶ εὐσπλαγχνίαν
ἀμέτρητον, παναμώμητε,
ταύτην εἰς τὸν δοῦλόν σου
τὸν σὲ ἐπικαλούμενον
νῦν ἐπίχεε
πλουσίαν καὶ διάσωσον.

Tu che possiedi copiosa compassione e incommensurabile misericordia, o irreprensibile, versala ora in abbondanza sul tuo servo che ti invoca e preservalo.

heirmus: Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν, EE 95 p. 67

128-143 Κύματα· τῶν ἐμπαθῶν λογισμῶν· διηνεκῶς με· συνταράττουσιν ἄχραντε· πονηρῶν πνευμάτων τε· καταιγίδες βυθίζουσιν· ἀλλὰ στήριξον· ἀπαθείας ἐν πέτρᾳ με. Λάμπρυνον τῷ φέγγει σου, ἀγαθή,· τὰ σκοτισθέντα τῆς καρδίας μου ὄμματα,· λογισμῶν συγχύσεσι· καὶ φωτὸς υἱὸν ποίησον· καὶ ἐν τόπῳ με· φωτεινῷ κατασκήνωσον Nikod., Eustr. Haec troparia in alio canone paracletico inveniuntur, inc. Ὡς πηγὴν εὐσπλαγχνίας, cf. Eustrat. p. 322, PID σ. ξδ΄ **128** βυθίζει με P **135** τῆς μετανοίας P **147** ἀμέτρητον, παναμώμητε Sin781, P, Pan Θεοτόκε ἀμέτρητον Nikod., Eustrat. aptius metro **151** διάσωσον] σῶσόν με Nikod., Eustrat.

www.tezaurliturgic.ro

III canone VI ode, sulla melodia di: Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν — III modo autentico



* Martyria non visibile

1) Variante sopralineare: ≻ ˃ =

Annotazioni metriche:
v. 131: ossitonia finale, diversamente dall'irmo, proparossitono.

www.tezaurliturgic.ro

ᾠδὴ ζ΄

Ἐβλάστησας ἐν γαστρὶ
τὸν στάχυν τὸν ἔνθεον
παναληθῶς, Δέσποινα σεμνή,
καὶ τοῦτον ἐκύησας,
πάντων εἰς βροτῶν
σωτηρίαν, ἅπασαν ψυχὴν
τῆς αὐτοῦ χάριτος
ἐμπιπλῶντα καὶ σῴζοντα.

Tu in verità hai fatto germogliare nel ventre la spiga divina, o Regina santa, e hai partorito Colui che, per la salvezza di tutti i mortali, riempie ogni anima della sua grazia e salva.

Ἰθύνουσά με πρὸς φῶς
τὸ θεῖον καὶ ἄϋλον,
τοῦ ζοφεροῦ σκότου τῶν παθῶν
λύτρωσαι, πανάχραντε
μόνη ἀγαθή·
σὺ γὰρ εἶ σωτήριος
χειραγωγὸς τῶν πίστει σε
εὐφημούντων εὐφήμοις φωναῖς.

Indirizzandomi alla luce divina e immateriale, redimimi dalla buia oscurità delle passioni, o purissima, unica buona; tu infatti sei salvifica guida di coloro che con fede ti benedicono con benedicenti voci.

Κατάπεμψόν μοι τὴν σὴν
σκέπην καὶ βοήθειαν
τῷ ἐν θλίψει καὶ ἐν πειρασμῷ
καὶ ἐν ἀπογνώσει ὑπάρχοντι πολλῇ,
σὺ γάρ μου ἡ λύτρωσις
καὶ τῆς ψυχῆς ἀνάκτησις,
Θεοτόκε πανύμνητε.

Inviami la tua protezione e il tuo aiuto, poiché mi trovo nell'angoscia, nella tentazione, e in molta disperazione; tu infatti sei mia redenzione e riscatto dell'anima, o Genitrice di Dio celebratissima.

Ὁ πάντων Δημιουργὸς
ἐν σοὶ κατεσκήνωσεν,
τὴν τῶν βροτῶν φύσιν προσλαβὼν
ἐκ σοῦ, Θεοτόκε πανάμωμη ἁγνή,
καὶ ταύτην ἀνέπλασεν
καὶ πρὸς ζωὴν ἀνήγαγε
καὶ τὴν πρώτην εὐπρέπειαν.

L'Artefice di tutto in te prese dimora, accogliendo la natura degli uomini da te, Genitrice di Dio, irreprensibile santa, e la riplasmò e la ricondusse alla vita e alla primigenia dignità.

heirmus: Ὡς πάλαι τοὺς εὐσεβεῖς, EE 95 p. 67

153 σεμνή Sin781, Pan ἁγνή P, Nikod., Eustrat. **157** ἑαυτοῦ Pan **162** πανάχραντε] παναμώμητε Pan **159-166** Ἰλύος τῆς τῶν παθῶν· καὶ βυθοῦ τῶν θλίψεων· καὶ πειρασμῶν τῶν βιωτικῶν· ἔλκυσον ἡμᾶς πρὸς ἀπάθειαν, ἁγνή,· καὶ χαρὰν εὐφρόσυνον· Εὐλογημένος, κράζοντας,· ὁ καρπὸς τῆς κοιλίας σου Nikod., Eustrat. sed cf. canonem inc. Σωτηρίας ἀρχηγόν, Eustrat. p. 280-282: 282: Ἰλύος τῆς τῶν παθῶν· καὶ βυθοῦ τῶν θλίψεων· καὶ πειρασμῶν τῶν βιωτικῶν, ἔλκυσον ἡμᾶς πρὸς ἀπάθειαν, ἁγνή,· καὶ χαρὰν εὐφρόσυνον· Εὐλογημένη, κράζοντας,· σὺ ἡ μόνη θεόνυμφος. **167-173** Κοιλάδων τῶν κοσμικῶν· ὡς κρίνον ἐν μέσῳ σε· καὶ ἀκανθῶν τῶν βιωτικῶν· ὡς κοκκοβαφὲς ῥόδον εὔοσμον ἀνθοῦν· ὁ Θεὸς εὐράμενος· ἐν σοὶ σαφῶς ἐσκήνωσε· καὶ ἡμᾶς εὐωδίασεν Nikod., Eustrat., sed cf. canonem Ioanni Mauropodis episcopi Euchaitae tributum Τὸν σωτῆρά μου Λόγον (Eustrat. pp. 241-245: 243 σαφῶς] σεμνή v. 201) **169** τῷ] τῶν P, Pan ἐν πειρασμῷ Sin781, P: ἐν πειρασμοῖς Pal **171** μου ἀπολύτρωσις P **172** ἀνάκτισις P **174-180** Ὁ πύλην σε μυστικὴν· οἰκείαν προθέμενος· καὶ ἐπιστὰς ξένως τοῖς ἐν γῇ· διὰ σοῦ, ἁγνή, θύραν δέδωκε βροτοῖς· πρὸς ζωὴν εἰσάγουσαν· τὴν αἰωνίαν ἅπαντας· ὡς οἰκτίρμων καὶ τῶν ὅλων Θεός Nikod., Eustrat.

www.tezaurliturgic.ro

III canone VII ode, sulla melodia di: Ὡς πάλαι τοὺς εὐσεβεῖς III modo autentico



Irmo di P nei tre cola finali:
Καὶ ὑμνοῦντες ἔψαλλον· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν

* Martyria non visibile

Annotazioni metriche:
l'ossitonia del verso conclusivo dell'irmo è rispettata soltanto nel secondo tropario.
V. 169: ossitono a differenza dell'irmo e degli altri tropari.

www.tezaurliturgic.ro

ᾠδὴ η΄

῾Ρῦσαί με, παρθένε
ἀγαθή, πρεσβείαις ταῖς σαῖς
ἐκ πάσης κακώσεως
καὶ δυσχερείας βιωτικῆς
καὶ τὴν σήν μοι παράσχου σκέπην τὴν
σωτήριον.

Liberami, o vergine buona, con le tue intercessioni da ogni male e ogni difficoltà della vita e offrimi il tuo riparo salvifico.

῾Η φωταγωγὸς
τῶν ἐν σκότει, πανάχραντε,
τὰ ὄμματα φώτισον
τὰ τῆς ψυχῆς μου, δέομαι,
τῶν παθῶν μου τὸν ζόφον φωτί σου
σκεδάσασα.

Tu che guidi alla luce chi è nelle tenebre, o purissima, illumina gli occhi della mia anima, ti prego, disperdendo la nebbia delle passioni con la tua luce.

Φύλαξον ἡμᾶς
ἐπηρείας ἐχθρῶν ἀσινεῖς
τοὺς πίστει τὸ ὄνομα
τὸ σὸν προσκαλουμένους, ἁγνή,
γλωσσαλγίας τὰς τούτων φιμοῦσα καὶ
στόματα.

Custodisci incolumi dall’assalto dei nemici chi con fede invoca il tuo nome, o santa, bloccando le loro ciance e le bocche.


῾Ως τὸν Ποιητὴν
τῶν ἁπάντων κυήσασα,
ἰσχύεις καὶ δύνασαι
ὅσα θέλεις, πανάχραντε,
διὸ μελλούσης ἡμᾶς ῥῦσαι
κατακρίσεως.

Avendo generato il Creatore di tutto, tu hai la forza e puoi ciò che vuoi, purissima, perciò liberaci dalla condanna futura.

heirmus: Τὸν συμβολικῶς, EE 95 p. 67

181 sg. παρθένε ἀγαθή] πανύμνητε Nikod., Eustrat. aptius metro **187** πανάχραντε] Μαρία σεμνή Nikod., Eustrat. **188** τὰ om. Pan **190** σκεδάζουσα Nikod., Eustrat. **194** ἁγνὴ] σεμνή Nikod., Eustrat. **195** καὶ τὰ στόματα Nikod., Eustrat. **196** ῾Ως] ῾Η Pan **197** κυήσασα Sin781, P, Pan τεκοῦσα σαρκί Nikod., Eustrat. **199** ὅσα καὶ θέλεις ἄχραντε Sin781, P, Pan

www.tezaurliturgic.ro



La melodia dell'irmo Τὸν συμβολικῶς (EE n. 95 p. 67) è presente soltanto nel ms. H. L'ottava ode di Ὁ τὰ ὕδατα πάλαι in G e P è: Ἀστέκτῳ πυρί (EE n. 101 p. 71, ivi attribuito a Cosma di Maiuma).

Annotazioni metriche:
i vv. 187, 189 e 199 sono proparossitoni invece che ossitoni. Al v. 184 lo schema dell'irmo: .!...!..! è reso: …!....!, mentre il v. seguente (185) anticipa sull'ottava sillaba (σκέπην) l'accento che nell'irmo è sulla nona. Anche il v. 200 non rispetta l'omotonia con l'irmo, allo schema ..!..!..!..!.. del modello (εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον) corrisponde l'accentazione: .!.!..(!)!...!.. (διὸ μελλούσης ἡμᾶς ῥῦσαι κατακρίσεως).

www.tezaurliturgic.ro

ᾠδὴ θ΄

Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον
<ὃν> ἐν γαστρὶ ὑπεδέξω,
[τοῦτον] ἁγνή, ἱκέτευε
ἀπὸ παντὸς λυτρώσασθαι ἡμᾶς
βιωτικοῦ πειρασμοῦ
καὶ παθῶν καὶ κινδύνων
καὶ συμφορῶν καὶ περιστάσεων.

Il Verbo, Dio da Dio, che tu hai accolto nel ventre, supplicalo, o veneranda, che noi siamo redenti da ogni tentazione della vita, passioni, pericoli, sciagure e difficoltà.

Ἵνα τὰ σὰ μεγαλεῖα
καὶ τὴν σὴν ἄφραστον χάριν
ἀεὶ γεραίρωμεν,
ἐκ πάσης ἀπολύτρωσαι
κακώσεως τοὺς δούλους σου,
Θεοτόκε παρθένε,
ἡ προστασία τῶν ψυχῶν ἡμῶν.

Affinché noi sempre proclamiamo la tua magnificenza e la tua indicibile grazia, redimi da ogni malvagità i tuoi servi, vergine Genitrice di Dio, patrona delle nostre anime.

Ὅλη φιλάγαθος πέλεις,
ὅλη σὺ εἶ φιλοικτίρμων,
ὅλη πανάγαθος,
διὸ τῆς συμπαθείας σου
τὰ σπλάγχνα μοι ὑπάνοιξον,
Θεοτόκε παρθένε,
καὶ ἐκ φθορᾶς με ἀνακάλεσε.

Sei tutta amica degli uomini, tutta amica della pietà, tutta buonissima, perciò apri per me le viscere della tua misericordia, o Genitrice di Dio vergine, e riscattami dalla rovina.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν,
Θεογεννῆτορ παρθένε,
πίστει κατέφυγον·
σύ μου γενοῦ ἀντίληψις,
σὺ θεῖον καταφύγιον,
σὺ λιμὴν σωτήριος,
σὺ αἰωνία ἀπολύτρωσις.

Nella tua misericordia, o Generatrice di Dio vergine, con fede mi sono rifugiato; tu sii mio soccorso, tu divino rifugio, tu porto salvifico, tu eterna redenzione.

heirmus: Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, σεσαρκωμένον (EE 95 p. 67), sed Ἐν νόμῳ σκιᾷ (EE 101 p. 71) refert Nikod.
200-207: Τοὺς νόμους τοὺς σοὺς ἠθέτησα· καὶ τὰς σωτηρίους ἐντολὰς παρέβην σου, οἰκτίρμων,· καὶ πτοοῦμαί σου τὸ φοβερὸν βῆμα· ἐν ᾧ περ καθίσας κρινεῖς τὰ σύμπαντα· διὸ βοῶ· δωρεάν με σῶσον Λόγε· σῆς μητρὸς δεήσεσιν Nikod., Eustrat. sed cf. Agapios Cretensis, Θεοτοκάριον […], Ἐνετίῃσι 1643, 1815[7] pp. 47-50: 50 (canon inc. Ἡ Θεὸν καὶ Δεσπότην, πάντων αἰώνων τεκοῦσα) **201** integrum heirmum P refert, sed in margine Ἡ sicut litteram incipitariam notat, alienam hirmo et acrosticho **201-207** post secundum troparium P **202 sq.** ἐν γαστρὶ ὑπεδέξω· τοῦτον, ἁγνή, ἱκέτευε Sin781, P, Pan **204** ἀπὸ πάντων P **205** πειρασμοῦ om. Pan **208-214** Ἰσχύς μου ἐλπὶς καὶ ὕμνησις· κράτος καὶ σωτηρία μου, Θεόνυμφε Μαρία· ὁρατῶν με λύτρωσαι ἐχθρῶν· καὶ δυσμενῶν ἀοράτων· ἐπιζητούντων με θηριωδῶς διασπᾶσαι· καὶ εἰς τέλος ἀπολέσαι με Nikod. Eustrat., sed cf. Eustrat. pp. 249-253: 252 (Ioanni Mauropodos Euchaitae, inc. Ψάλλων παναρμονίως ᾄδει, Δέσποινα) et ibid. 329-331 (inc. Ἁμαρτάνειν ἀπαύστως, θ΄ ᾠδή) **214** καὶ προστασία τῶν ψυχῶν ἡμῶν Sin781, Pan: καὶ ἐκ φθορᾶς με ἀνακάλεσε P **215-221** Ὁ βίος μου ὅλος ἄχραντε· ῥᾳθύμως ἐκτετέλεσται καὶ ἤγγισα τῷ ᾅδῃ· νῦν τῆς ἀπογνώσεως, ἁγνή,· ἀλλὰ διόρθωσιν δίδου· καὶ μὴ ἐάσῃς με ἐν τῇ τοιαύτῃ κακώσει· τὸν προσφεύγοντα τῇ σκέπῃ σου Nikod., Eustrat. sed troparium pervulgatum est: Eustrat. pp. 275-277: 277 (canon inc. Ῥυπαρῶν ἐκ χειλέων), *ibid.* pp. 277-280: 280 (canon Theostericti monaci Studitae, inc. Ἀρδευθῆναι πλουσίως), et alibi **221** προστασία τῶν ψυχῶν ἡμῶν P **222-228** Υἱὸν τοῦ Θεοῦ γεννήσασα· καὶ πάντων οὖσα Δέσποινα, παρθένε παναγία,· τὴν ἐμὴν ἐλέησον ψυχήν· καὶ ἐν ἡμέρᾳ τῆς δίκης· καταδίκης ῥῦσαί με, καὶ μὴ ἐάσῃς βασάνοις· τῆς γεέννης ὑπαχθῆναί με Nikod., Eustrat. sed cf. ~ Eustrat. pp. 249-253: 253 (Ioanni Mauropodos Euchaitae inc. Ψάλλων παναρμονίως ᾄδει, Δέσποινα). **224** κατέφυγον] καταφεύγω Pan



La melodia dell'irmo non è tradita dall'irmologio P.

Annotazioni metriche:
il primo tropario, così come tradito dai codici, viola le leggi metriche nei vv. 202-205. Per i primi due, dove le violazioni sono più serie, si è proposta un'ipotesi di correzione. Il terzo e il quarto verso del tropario hanno rispettivamente due sillabe in più (ma finale ossitono) e una in meno dell'irmo; l'isosillabismo complessivo nell'insieme dei due versi non pare pertanto alterato (se non per l'usuale soluzione 'coriambica' al posto della 'dattilica'). Nel terzo verso del primo tropario, la cadenza *do-si-la* non appare più conclusiva, poiché esso si prolunga ancora di due sillabe (ἡμᾶς), intonate probabilmente sulla stessa nota (il *la*). Il v. 214 è ossitono.

www.tezaurliturgic.ro

[M.V.] Canone alla Genitrice di Dio, IV modo autentico, su Ἀνοίξω τὸ στόμα μου
Acrostico: Ὕμνος τέταρτος τῇ πανάγνῳ Παρθένῳ· Φωτίου

Sigla
Edizioni:
Panagiotou: A. Panagiotou, *Δύο ἀνέκδοτοι κανόνες τοῦ ἱεροῦ Φωτίου*, "Ἐπιστημονικὴ ἐπετηρὶς τῆς φιλοσοφικῆς σχολῆς τοῦ πανεπιστημίου Ἀθηνῶν" 37, 2005-2006, pp. 135-156: 147-156.
Pitra: J-B. Pitra, *Analecta Sacra*, cit., pp. 439 sg.

Codici:
Pal: Vat. Pal. gr. 138, saec. XIV, ff. 6r-7v
Sin781: Sin. gr. 781, saecc. X-XI, ff. 213r-216r

L'edizione recente di A. Panagiotou, pur conoscendo entrambi i codici sopra riportati, predilige a buon diritto il più antico Sinaitico, che ritiene *codex optimus.* Tralascia tuttavia in numerose occasioni di segnalare le varianti del *Palatino* e le congetture del Pitra, che pertanto riporto in apparato.

www.tezaurliturgic.ro

ᾠδὴ α΄

῾Υμνῶ σου, Πανάχραντε,
τῆς δυναστείας τὸ μέγεθος,
ὅτι ἐλυτρώσω με
ποικίλων θλίψεων,
ἀλλὰ καὶ νῦν με
διάσωζε, κινδύνων
φρουροῦσα καὶ σκέπουσα
τῇ προστασίᾳ σου.

Canto, o purissima, la grandezza della tua potenza, poiché mi hai riscattato da angosce di ogni genere, orsù anche ora preservami, difendendomi dai pericoli e proteggendomi con il tuo soccorso.

Μορφὰς καὶ ἰνδάλματα
ἀπειρημένα ὁ δόλιος
ἐντυποῖ τῇ ψυχῇ μου
ἐκτόποις ἐπαγωγαῖς,
ταύτην μολῦναι
πειρώμενος, παρθένε,
τῆς τούτου με λύτρωσαι
κακίας καὶ μηχανῆς.

L’Ingannatore imprime nella mia anima forme e apparenze proibite con orrendi assalti, tentando di macchiarla, o Vergine, riscattami dalla sua malvagità e dal suo intrigo.

Νυκτὶ καὶ ἡμέρᾳ σε
παρακαλῶν καὶ δεόμενος
εὑρίσκω ἐν αἰσθήσει
τὴν σὴν ἀντίληψιν,
σὺ γὰρ ἀπείργεις
πονηρᾶς γλωσσαλγίας
ἐχθρῶν, ἀποτρέπουσα τὴν σκολιότητα.

Pregandoti e supplicandoti notte e giorno io trovo sensibilmente il tuo soccorso, tu infatti respingi la malvagia maldicenza dei nemici, allontanando l’iniquità.

Οὐδεὶς καταπέφευγεν
ἐπὶ τὴν σὴν ἀγαθότητα
καὶ οὐκ ἐκομίσατο
ταχὺ τὸ ἔλεος,
οὐ προσέδραμεν
τῇ σκέπῃ σου καὶ λύσιν
οὐχ εὗρεν ὧν ᾔτησε, πάναγνε Δέσποινα.

Nessuno ha cercato rifugio nella tua bontà senza ottenere in fretta la pietà, non è corso al tuo riparo senza trovare soluzione di ciò che chiedeva, o santissima Regina.

heirmus: ᾽Ανοίξω τὸ στόμα μου, EE 141 p. 99

tit.: Sin781 f. 213r: ἕτερος κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον, φέρων ἀκροστιχίδα· ὕμνος τέταρτος τῇ πανάγνῳ παρθένῳ Φωτίου

Pal f. 6r: κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα Φωτίου· οὗ ἡ ἀκροστιχίς· ὕμνος τέταρτος τῇ πανάγνῳ παρθένῳ Φωτίου

6 διάσωσον Pal **11** ἐτύπει Pal **12** ἀτόπως ἐπαγαγών Pal **18 sq.** παρακαλῶ καὶ προσπίπτω σοι / εὑρεῖν ἐν αἰσθήσει με Pal

www.tezaurliturgic.ro

IV canone I ode, sulla melodia di: ’Ανοίξω τὸ στόμα μου — IV modo autentico



* Martyria non visibile

Annotazioni metriche: il quarto verso del primo, terzo e quarto tropario non ha l’ossitonia finale prevista dall’irmo.

www.tezaurliturgic.ro

ᾠδὴ β΄

Σάρκα κατέφθειρα
προσφεύγομεν, πανάχραντε,
μὴ ἀποτύχωμεν οἱ δοῦλοί σου
τῆς θείας βοηθείας
τῆς σῆς ἀντιλήψεως
ἀλλ᾽ἐκ πάσης λύτρωσαι,
Δέσποινα, βλάβης τοῦ ἐχθροῦ.

Tutti noi che accorriamo al tuo riparo, o purissima, che non restiamo privi, noi tuoi servi, del divino aiuto del tuo sostegno, ma redimici da ogni oltraggio del Nemico, o Regina.

heirmus: ᾽Ανάτειλόν μοι Κύριε, EE 149 p. 106

76-82 cf. *Vita*, cit., col. 760F (§10)-761A **78** πένεσιν cum ε et in *Apophtegmata* ed. Nau 392, r. 2 **83-89** cf. *Vita*, cit., col. 761A **90-95** cf. *Vita*, cit., col. 761C

77 ἀπάραντα cod.

V ode, sulla melodia di: Ἀνάτειλόν μοι Κύριε IV modo autentico



* Martyria non visibile

a) superlineare, probabilmente da intonarsi come melisma prima del sol successivo
In G la linea melodica presenta un errore, corretto in trascrizione.

Annotazioni metriche: l'ultimo verso di tutti i tropari ha finale "coriambico". Non pare semplice proporre un'ipotesi di adattamento della melodia al testo più lungo (a meno della pur sempre ipotizzabile duplicazione del *sol* o del *re* finali), poiché la linea neumatica in questo punto nei codici considerati non è mai impiegata per un numero di sillabe superiore a quello dell'irmo.

www.tezaurliturgic.ro

ᾠδὴ ϛ΄

Ὑπάρχει σοῦ ὁ βίος τῶν ἀγγέλων,
πάτερ, ἰσοστάσιος
ἐν ἄρτῳ γὰρ σμικροτάτῳ
καὶ λαχάνοις καὶ ὕδατι βραχεῖ
τρεφόμενος, διήνυσας
χρόνους, μάκαρ, τριάκοντα.

La tua vita è della stessa natura di quella degli angeli, o padre; nutrendoti infatti di pochissimo pane, verdure e poca acqua trascorresti, o beato, trent'anni.

Λιταῖς σου τὴν μνήμην σου τελοῦντας
κολάσεως λύτρωσαι
πυρός τε τοῦ αἰωνίου,
παρρησίαν ὡς ἔχων πρὸς Θεόν,
Θεόδουλε <παμ>μάκαρ,
τῶν ἀσκητῶν τὸ ἀγλάϊσμα.

Con le tue suppliche, redimi dalla condanna e dal fuoco eterno noi che compiamo la tua commemorazione, poiché hai confidenza verso Dio, o beatissimo Teodulo, splendore degli asceti.

Ἔτεσιν ἐν τῷ στύλῳ καρτερήσας
πρὸς τρισὶν πεντήκοντα,
μησὶν ἑπτά, ἠξιώθης
παραδείσου τῆς δόξης ἐντρυφᾶν
ἧς νῦν τούς σε τιμῶντας
ἐπιτυχεῖν, πάτερ, πρέσβευε.

Resistendo sulla colonna quarantotto anni e sette mesi, fosti reso degno di godere la gloria del paradiso; ora, o padre, intercedi affinché noi che ti onoriamo possiamo ottenerla.

Φώτισον, Θεοτόκε, τὴν ψυχήν μου,
ἡ Χριστὸν κυήσασα,
τὸ φῶς τῶν ἐσκοτισμένων,
καὶ παράσχου μου λύσιν τῶν δεινῶν
καὶ τῶν ἐπεμβαινόντων
κακοποιῆσαί με λύτρωσαι.

Illumina, o Genitrice di Dio, la mia anima, tu che hai generato Cristo, luce per chi si trova nel buio, e offrimi la redenzione dei mali e redimimi da chi mi assale per nuocermi.

heirmus: Ζάλη με λογισμῶν, EE 150 p. 107

104-109 cf. *Vita*, cit., col. 761 AB (§11), de vita angelica cf. *ibid*. col. 761 C **116-121** Annos in columna egisse videtur Theodulos quadraginta octo, menses septem, cf. *Vita*, col. 761C, sed cf. *Synax*. 3 dec., 6 r. 32: ἑπτά που μῆνας ἐπὶ σαράκοντα ἔτεσι.

114 μάκαρ cod. παμμάκαρ ego metri causa **116 sq.** πρὸς τρισιντα cod. ν΄ super lineam addidit librarius ante μησιν parva rasura

VI ode, sulla melodia di: Ζάλη με λογισμῶν IV modo autentico



Annotazioni metriche: il penultimo verso del primo, terzo e quarto tropario non rispetta lo schema accentuativo dell'irmo (accenti in seconda e quinta posizione), poiché è sempre accentata la sesta sillaba. Nello stesso punto del secondo tropario (v. 114), il verso ha una sillaba in meno dell'irmo. Se si accetta il testo tradito, l'adattamento della melodia parrebbe semplice per H e G, che non evidenziano la struttura dell'irmo con accenti musicali. Sarebbe invece impossibile per P dove, si noti, è sempre la sesta sillaba ad essere marcata con ˊ. Si propone παμμάκαρ invece di μάκαρ, omotonico con gli altri tropari.

www.tezaurliturgic.ro

ᾠδὴ ζ΄

Ὥσπερ ἄσαρκος ἐν γῇ
ἐν ἐγκρατείᾳ καὶ πόνοις,
σοφέ, βιώσας, δαίμονας ᾐσχυνας,
διὸ Χριστῷ, μάκαρ, ἐλιπάρεις
τῶν καμάτων ἀμοιβὰς
ἰάσεις δέξασθαι ἰδεῖν,
διὸ ἀνέδειξέν σοι
ταπείνωσιν ἀληθῆ
συγχαριζόμενος.

Essendo vissuto sulla terra con temperanza e ascesi, o sapiente, come un angelo, svergognasti i demoni, perciò, o beato, insistesti nel chiedere a Cristo, in cambio delle fatiche, di ottenere di vedere le guarigioni, perciò Egli ti mostrò la vera umiltà, facendoti grazia.

[Ὅλον σε, Θεόδουλε,
καθαγιάσας ὁ Δεσπότης,
δεκτικὸν εἰργάσατο τοῦ Πνεύματος
δοχεῖον, αὐγὰς εἰσδεχόμενον
τὰς οὐρανίους καὶ τοῦτον
καθαρῶς προσωμίλεις
καὶ ἐκραύγαζες·
Εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.]

[O Teodulo, il Signore, santificandoti tutto, ti ha reso ricettacolo capace di contenere lo Spirito e di ricevere i raggi luminosi del cielo e Costui con purezza pregasti e proclamasti: “Benedetto il Dio dei nostri padri”.]

Ἰσοστάσιος <προφητῶν>
καὶ συμπολίτης, θεόφρον,
τῶν ἀσωμάτων θείων δυνάμεων
μὴ διαλίπῃς ὑπὲρ τῶν πίστει
τὴν ἁγίαν καὶ σεπτὴν
ἑορτὴν χαρμονικῶς
τελούντων σου σήμερον,
πταισμάτων λύσιν εὑρεῖν
ἐκδυσωπῶν τὸν Χριστόν.

Di pari valore rispetto <ai profeti> e concittadino, o uomo dalla mente divina, delle divine potenze incorporee, non cessare di supplicare Cristo per noi che compiamo con gioia e fede oggi la tua santa e venerabile commemorazione, affinché troviamo la remissione dei peccati.


Οἶκος οὖσα τοῦ Θεοῦ,
θεοκυῆτορ Μαρία,
φωτοειδέστατον παλάτιον,
τὴν ταπεινήν μου ψυχὴν
πταισμάτων
ἀποκάθαρον δεινῶν,
μολυσμῶν, ἁμαρτιῶν,
καὶ ταύτην ἀπέργασαι
τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ
κατοικετήριον.

Essendo casa di Dio, o Generatrice di Dio Maria, luminosissimo palazzo, purifica la mia misera anima da terribili colpe, lordure, peccati, e rendila dimora del tuo Figlio e Dio.

heirmus: Τῇ εἰκόνι τῇ χρυσῇ, EE 150 p. 107 **136** συχαριζόμενος cod. **137-145** hoc troparium bis scriptum, hic et infra in octavo cant., hic vero non aptum metro troparium inc. T desideratur **144 sq.** Εὐλογητός – ἡμῶν breviatum more solito **146** post ἰσοστάσιος in rasura vid. fort. προ. προφητῶν ego, cf. e.g. *Vita*, cit., col. 765A, *A.H.G.*, *In s. Alexandrum* 16, IX, v. 15, *Vita Eliae Iunioris* 67, 1467 **128-136** cf. *Vita*, cit., col. 761AB (§11) **133** de sanationibus - ἰασεις cod. - non mihi constat in *Vita*, cit., Theodulus sortem animae suae rogat (σὸν κλήρον vel similia)

www.tezaurliturgic.ro

VII ode, sulla melodia di: Τῇ εἰκόνι τῇ χρυσῇ — IV modo autentico



* Martyria non visibile

Alcuni neumi in G e P risultano di difficile lettura

Annotazioni metriche: il v. 159, spartito in due versi nel codice, di cui il primo con finale "coriambico", presenta una sillaba in più dell'irmo; l'ultimo verso dei tropari a volte presenta finale "dattilico" e non "coriambico".

www.tezaurliturgic.ro

ᾠδὴ η΄

῾Υπῆρξας ὡς ἄσαρκος,
θεόφρον πάτερ, ἐν τῷ στύλῳ,
τροφῆς μὴ γευσάμενος
καὶ ὅλως φθειρομένης
πρὸς τρισὶν καὶ εἴκοσι
χρόνοις, ἄλλ᾽οὐρανίῳ
ἐκτρεφόμενος ἄρτῳ· διὸ ἔμελπες·
Εὐλογεῖτε τὰ ἔργα Κυρίου
ἀπαύστως τὸν Κύριον.

Fosti come incorporeo, o padre dalla mente divina, sulla colonna, non gustando alcun cibo del tutto soggetto a corruzione per diciotto anni, ma nutrendoti di pane celeste, perciò cantasti: “Benedite incessantemente il Signore, opere del Signore”.

῞Ολον σε, Θεόδουλε,
καθαγιάσας ὁ Δεσπότης,
δεκτικὸν εἰργάσατο
τοῦ Πνεύματος δοχεῖον,
αὐγὰς εἰσδεχόμενον
τὰς οὐρανίους καὶ τοῦτον
καθαρῶς προσωμίλεις καὶ ἐκραύγαζες·
Εὐλογεῖτε τὰ ἔργα Κυρίου
ἀπαύστως τὸν Κύριον.

O Teodulo, il Signore, santificandoti tutto, ti ha reso ricettacolo capace di contenere lo Spirito, di accogliere i raggi luminosi del cielo e Costui con purezza pregasti e proclamasti: “Benedite incessantemente il Signore, opere del Signore”.

῞Ιλεων ἀπέργασαι
ταῖς σαῖς πρεσβείαις τὸν Δεσπότην
πίστει τοῖς τιμῶσί σου
τὴν θείαν καὶ φωσφόρον
καὶ ἁγίαν κοίμησιν,
μακαριότατα πάτερ,
ὅπως πίστει βοῶμεν ἀναμέλποντες·
Εὐλογεῖτε τὰ ἔργα Κυρίου
ἀπαύστως τὸν Κύριον.

Con la tua intercessione rendi benigno il Signore verso di noi che onoriamo la tua divina, luminosa e santa dormizione, beatissimo padre, affinché con fede proclamiamo nel canto: “Benedite incessantemente il Signore, opere del Signore”.

Κατάβαλε, Δέσποινα,
τοὺς καθ᾽ἡμῶν βεβουλευμένους
ἐχθροὺς ἀοράτους τε
δολίους ὁρατοὺς δὲ
καὶ ἡμᾶς ἀξίωσον
τῆς οὐρανῶν βασιλείας
τῇ θερμῇ σου πρεσβείᾳ, παναμώμητε,
ἵνα πίστει καὶ πόθῳ ὑμνοῦμεν
τὸν ἄσπορον τόκον σου.

Abbatti, Regina, i nemici invisibili e gli ingannatori visibili che tramano contro di noi, e rendici degni del Regno dei cieli per mezzo della tua fervida intercessione, o irreprensibile, affinché con fede e desiderio inneggiamo al tuo parto senza seme.

heirmus: Τὰ σύμπαντα, Δέσποτα, EE 147 p. 105

post 171 trop. ῞Ολον σε Θεόδουλε iam in septimo cant. scriptum notavit iterum librarius **186** τοὺς τιμῶντας cod. **190** κατάβαλλε cod. **191** βουλωμένους cod. litteris B supra lineam et E sub linea additis βεβουλευμένους ego **163-171** cf. *Vita* col. 761B (§11)

www.tezaurliturgic.ro

VIII ode, sulla melodia di: Τὰ σύμπαντα, Δέσποτα IV modo autentico



* Martyria non visibile

L'irmo riportato da G è più breve nella parte finale, su testo: Εὐλογεῖτε ἔργα Κυρίου τὸν Κύριον.

Annotazioni metriche: la prima parola dei quattro tropari ha accento sulla prima o sulla seconda sillaba; la resa musicale consente entrambe le possibilità.

www.tezaurliturgic.ro

ᾠδὴ θ΄

Τὸν βίον διανύσας τὸν μακάριόν σου,
σοφέ,
ἀκήκοας φωνῆς πρὸς τὰς ἐκεῖ
προσκαλούσης σε σκηνάς,
αἷς κατοικῶν χαρμονικῶς
ἡμῶν μνημόνευε.

Avendo trascorso la tua vita beata, o sapiente, hai udito una voce che ti invitava alle tende di lassù, nelle quali ora abitando con gioia, ricordati di noi.

῾Ρεόντων προσπαθείας καταλείψας, πάτερ σοφέ,
διέλλαμψας ὁσίαις ἀρεταῖς
καὶ παρέστηκας Χριστῷ,
ὑπὲρ ἡμῶν ἐκδυσωπῶν
τῶν εὐφημούντων σε.

Abbandonando i desideri per ciò che è transeunte, o padre sapiente, brillasti di sante virtù, e ti sei presentato al cospetto di Cristo, supplicandolo per noi che ti benediciamo.

῞Ολος ὡραϊσμένος παριστάμενος τῷ Χριστῷ
μὴ παύσῃ δυσωπῶν ἁμαρτιῶν
δωρηθῆναι ἱλασμόν,
Θεόδουλε, τῶν τὴν σεπτὴν
τελούντων μνήμην σου.

Tutto adorno di bellezza al cospetto di Cristo, o Teodulo, non cessare di supplicare che sia donata la redenzione dai peccati di coloro che compiono la tua santa commemorazione.

῾Υπὸ τὴν σήν, παρθένε, καταφεύγομεν
κραταιὰν
ἀντίληψιν, αἰτούμενοι λαβεῖν
τῶν πταισμάτων ἱλασμόν·
ἔχεις γὰρ ἔχεις τὴν ἰσχύν,
ὡς Μήτηρ οὖσα Θεοῦ.

O Vergine, ci rifugiamo sotto il tuo forte sostegno, pregandoti di ottenere la redenzione dalle colpe; hai, sì, hai la forza, poiché sei Madre di Dio.

heirmus: Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον, EE 149 p. 106

198 sq. cf. *Vita*, cit., col. 761C (§12) **200** cf. *Ap* 13, 6

www.tezaurliturgic.ro

IX ode, sulla melodia di: Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός IV modo autentico



Quest'ode manca in P.

La martyria presente in H non è corretta.

Annotazioni metriche: solo l'ultimo tropario ha finale "coriambico" come l'irmo.

www.tezaurliturgic.ro

[S.Theod.II.] Canone per san Teodulo stilita, IV modo plagale, su ‘ Αρματηλάτην Φαραώ.
Acrostico: Υμνς ουπι σεΘε οδυλ εονβ ινοπ νησΦ ωτις

Codice:
Sin2113: Sinai, Μονὴ τῆς ἁγίας Αἰκατερίνης 2113, ff. 129r-139v.

www.tezaurliturgic.ro

ᾠδὴ α΄

῾Υπὸ τὴν σὴν προσπεφευγὼς χρηστότητα
καὶ ἀγαθότητα,
μονογενῆ Λόγε
τοῦ Θεοῦ προάναρχε,
προσπίπτω σοι, κατάπεμψον
οὐρανῶθέν μοι χάριν
καὶ φωτισμὸν τῇ καρδίᾳ μου
ὅπως ἀνυμνήσω τὸν ὅσιον.

Rifugiandomi sotto la tua bontà e mitezza, o Verbo unigenito di Dio, che eri prima di ogni principio, ti supplico, inviami dal cielo grazia ed illuminazione al mio cuore, affinché io inneggi al Santo.

Μετὰ ὁσίων καὶ δικαίων πρέσβευε,
πάτερ Θεόδουλε,
τῷ Ποιητῇ πάντων
ἱλασμὸν δοθῆναί μοι
ἁμαρτιῶν καὶ θλίψεων
καὶ παθῶν καὶ κινδύνων
καὶ συμφορῶν λυτρωθῆναί με
ὅπως ἐπαξίως ὑμνήσω σε.

Assieme ai santi e ai giusti intercedi, o padre Teodulo, presso il Creatore di tutto, affinché mi sia donata la redenzione dai peccati e io sia liberato da angosce, passioni, pericoli e sciagure, per lodarti degnamente.

Νοῦν καὶ ψυχὴν καταυγασθείς,
Θεόδουλε,
τῷ θείῳ Πνεύματι
τὰ ἐπὶ γῆς πάντα
εἰς οὐδὲν λελόγισαι
καὶ τὸν σταυρὸν ἀράμενος
τῷ καλοῦντι προθύμως,
μακάριε, ἠκολούθησας
καὶ τῆς ἄνω δόξης ἠξίωσαι.

Illuminato nella mente e nell’anima, Teodulo, per mezzo dello Spirito divino, stimasti nulla tutti i beni terreni e prendendo la croce, seguisti prontamente chi ti chiamava, o beato, e fosti degno della gloria del cielo.

Σύ μου προστάτις καὶ λιμήν,
πανάμωμε,
γενοῦ τῷ δούλῳ σου,
ἁμαρτιῶν ζάλῃ
δεινῶς χειμαζόμενον
καὶ τῶν παθῶν εἰς πέλαγος
περιπίπτοντα, μόνη
τῶν πεπτωκότων ἀνόρθωσις,
ῥῦσαί με καὶ σῶσον ὡς εὔσπλαγχνος.

Tu sii per me, tuo servo, mia difesa e porto, o irreprensibile, libera me che sono sommerso terribilmente dalla tempesta dei peccati e affondo nel mare delle passioni, Unica che può rialzare chi è caduto, e salvami, poiché sei misericordiosa.

heirmus: ῾Αρματηλάτην Φαραώ, EE 314 p. 219
tit.: Ἕτερος κανὼν

7 τὴν καρδίαν cod. **28** χειμαζόμενος cod.
21 cf. *Vita*, cit., col. 760 F (§9), cf. *Lc* 14, 27

www.tezaurliturgic.ro



Annotazioni metriche: il secondo verso di ogni tropario non accoglie la soluzione ossitona dell'irmo.

www.tezaurliturgic.ro

ᾠδὴ γ΄

Ὅλος τῷ δέει τοῦ Θεοῦ
κρατημένος, θεοφόρε,
καὶ τῶν τούτου πληρωτὴς
προσταγμάτων
ἐπισπεύδων ἀληθὴς
γενέσθαι, δόξης ἐλλιποῦς
[καὶ] πρὸς μονιμοτέραν
διαγωγὴν μετελήλυθας.

Tutto guidato dal timore di Dio, o teoforo, e affrettandoti ad essere vero esecutore dei suoi comandamenti, cambiasti la gloria imperfetta con la condizione più immutabile.

Ὑπὸ τῆς χάριτος, σοφὲ
Θεόδουλε, τοῦ Σωτῆρος
τῆς ψυχῆς καταλαμπόμενος, βίον
ἐπεπόθησας σεμνόν,
τύρβας μισήσας δόξης φθαρτῆς
καὶ φθειρομένου πλούτου,
τοῦ ποθουμένου τετύχηκας.

O Teodulo sapiente, illuminato dalla grazia del Salvatore dell’anima, desiderasti vita santa, odiando i tumulti della gloria che si corrompe e della ricchezza che viene meno, hai raggiunto Ciò cui agognavi.

Παραδραμὼν τὰ ἐν τῇ γῇ,
τῇ ὑψηλῇ πολιτείᾳ
καὶ ἐνθέῳ τῷ μονίμῳ ἐγένου
κληρονόμος σὺν χοροῖς
ὁσίων, εὐφραινόμενος
μεθ᾽ ὧν ἀεὶ δυσώπει
Χριστὸν τοῦ σῶσαι τοὺς δούλους σου.

Evitando ciò che è terreno, con il più eccelso modo di vivere e con divina immutabilità ottenesti un’eredità tra i cori dei santi, gioendo sempre con essi, supplica Cristo di salvare i tuoi servi.

Ἵνα τὸν πάλαι τῇ φθορᾷ
τῇ τοῦ ἐχθροῦ συμβουλίᾳ
πεπτωκότα ἀναστήσει, παρθένε,
ὁ τῶν ὅλων Ποιητὴς
διὰ τῆς σῆς ἐπέφανεν
ἡγιασμένης μήτρας
καὶ πᾶσαν κτίσιν ἐφώτισεν.

Per innalzare l’uomo caduto un tempo nella rovina per l’intrigo del nemico, o vergine, il Creatore di tutto apparve per mezzo del tuo ventre santificato ed illuminò tutta la creazione.

heirmus: Ὁ στερεώσας κατ᾽ἀρχάς, EE 314 p. 219

37 ἐλλιποῦς] ἔλειπες cod. **38** καὶ ad syntaxin non pertinet sed aptum metro
44 sqq. cf. *Vita*, cit., col. 760 E (§1)

www.tezaurliturgic.ro

III ode, sulla melodia di: Ὁ στερεώσας κατ᾽ἀρχάς — IV modo plagale



* Martyria non visibile.

www.tezaurliturgic.ro

ᾠδὴ δ΄

Σὺ τῶν παθῶν
βασιλικότατος γέγονας,
σὺ δαιμόνων
πληθὺν ἐτραυμάτισας,
τὸν γὰρ Χριστὸν ἔσχες συνεργόν,
Θεόδουλε μάκαρ,
ὃν ἀπὸ βρέφους ἐπόθησας,
διὸ τοὺς ἐκτελοῦντας
τὴν ἁγίαν σου μνήμην
τῆς ἐχθρῶν κακουργίας ἐκλύτρωσαι.

Tu sei stato massimo sovrano sulle passioni, tu hai ferito la turba dei demoni, avesti infatti Cristo come tuo collaboratore, o beato Teodulo, che tu desideravi sin da fanciullo, perciò redimi dalla malvagità dei nemici coloro che compiono la tu santa commemorazione.

Ἐπὶ τῆς γῆς
δι᾽εὐσπλαγχνίαν χρηστότητος
τὴν πεσοῦσαν
φύσιν ἀνορθώσασθαι
παραγενάμενος ὡς Θεὸς
ἐξ ἁγνῆς παρθένου,
μακάριε, σοὶ ὀπτάνεται
καὶ ῥώννυσι πρὸς θείαν
ἣν ἠγάπησας, πάτερ,
ἀγωγὴν ἀπαλλάττων φροντίδων σε.

O beato, [Cristo], giunto come Dio dalla santa Vergine sulla terra con misericordiosa bontà per risollevare la natura caduta, a te appare e ti incita alla divina condizione di vita che tu amavi, o padre, allontanando da te le preoccupazioni.

Θεοπειθῶς
τῷ λέγοντι ἐφεπόμενος
ἐνδεέσιν
ἔνειμας τὸν πλοῦτόν σου,
τὸν δὲ σταυρὸν ὤμοις ἱεροῖς
τοῖς σοῖς περιφέρων
Ἐδέσῃ, πάτερ, κατέλαβες
τῇ πόλει· σοῦ τὰς βάσεις
ἐπὶ στύλου αἱρήσας
τῷ Θεῷ καθαρῶς προσωμίλησας.

Obbedendo con fede in Dio a Colui che ti parlò, distribuisti la tua ricchezza tra i bisognosi, portando la croce sulle tue spalle sante muovesti nella città di Edessa, o padre; eleggendo la tua sede su una colonna, pregasti Dio con cuore puro.

Ἐπὶ τὴν σήν,
Θεοκυῆτορ, ἀντίληψιν
καταφεύγω,
πρόστηθι καὶ λύτρωσαι
ἐν τῇ φρικτῇ, Δέσποινα ἁγνή,
τῆς δίκης ἡμέρᾳ
τῆς τῶν ἐρίφων μερίδος με
καὶ στάσιν τῶν προβάτων
τοῦ Υἱοῦ καὶ Θεοῦ σου
καταξίωσον ὅπως δοξάζω σε.

Mi rifugio sotto la tua protezione, o Generatrice di Dio, difendimi e liberami, nel tremendo giorno del giudizio, o Regina santa, dalla sorte delle capre, e rendimi degno della condizione delle pecore del tuo Figlio e Dio, affinché io ti glorifichi.

heirmus: Σύ μοι Χριστέ, EE 314 p. 219
81 θεοποιθῶς cod. **83** ἐνδεείν cod. **61-70** cf. *Vita*, cit., col. 761 C (§12) **71-80** cf. *Vita*, cit., col. 760 (§9) **81-90** cf. *Vita*, cit., coll. 761 sq. (§10) **97 sq.** cf. *Mt* 25, 31-34

www.tezaurliturgic.ro

IV ode, sulla melodia di: Σύ μοι, Χριστέ — IV modo plagale



* Martyria non visibile

www.tezaurliturgic.ro

ᾠδὴ ε΄

Οὐρανῶθεν, παμμάκαρ,
θείᾳ μεσιτείᾳ σου τὴν λύσιν
βράβευσον
τῶν ἁμαρτιῶν μου
καὶ παθῶν ἀποξήρανον ῥεύματα
τῶν ἐμῶν, θεόφρον,
καὶ τὴν ζωὴν χειραγωγῆσαι
τῷ Κυρίῳ μὴ λείπῃς δεόμενος.

Dal cielo, o beatissimo, con la tua divina mediazione, concedimi la liberazione dai peccati ed essicca i rivi delle mie passioni, o uomo dalla mente divina, e non cessare di pregare il Signore di guidare la mia vita.

Δωρεῶν ἀκηράτων,
ἔνδοξε Θεόδουλε, καταξιούμενος
παρὰ τοῦ Σωτῆρος
καὶ χαρᾶς ἀϊδίου πληρούμενος
ἐν ὑψίστοις ἅμα
σὺν ἀσωμάτων ταῖς χορείαις
ὑπὲρ πάντων ἡμῶν καθικέτευε.

Reso degno da parte del Salvatore di doni incorruttibili, o glorioso Teodulo, e riempito di gioia eterna, supplica nell’alto dei cieli assieme alle danze degli incorporei per tutti noi.

Ὑπὸ σοῦ λαμπρυνθεῖσα,
Πρόκλα τὴν καρδίαν Θεῷ
εὐηρέστησεν,
ὡσαύτως σοι, πάτερ,
ἐνετείλατο ὁ Χορηγὸς τῶν καλῶν,
καὶ τὸν βίον θείᾳ
καταλιποῦσα προμηθείᾳ
πρὸς τὰ ἄνω ἀνήχθη σκηνώματα.

Procla, da te illuminata nel cuore, fu gradita a Dio, così come per te, o padre, aveva disposto il Dispensatore dei beni, e lasciando per divina provvidenza la vita fu condotta alle tende del cielo.

Λυτρωθῆναι πταισμάτων,
ἄχραντε, δυσώπησον τὸν σὸν Υἱὸν καὶ
Θεὸν
καὶ τῆς τῶν δικαίων
ἀπολαῦσαι χαρᾶς καταξίωσον
τοὺς ἐν πεποιθήσει
τῇ σῇ, παρθένε Θεοτόκε,
καθεκάστην ἐμφρόνως ἐλπίζοντας.

Supplica tuo Figlio e Dio, o Pura, affinché noi che sempre speriamo con fiducia nella tua confidenza siamo redenti dalle colpe, e rendici degni di godere della gioia dei giusti, o Genitrice di Dio vergine.

heirmus: Ἰνατί με ἀπώσω, EE 314 p. 219

119 τῷ βίῳ cod. **121** ἀνήχθεις cod.

115-121 cf. *Vita*, cit., col. 760 F (§10) verbum de verbo

www.tezaurliturgic.ro

V ode, sulla melodia di: Ἰνατί με ἀπώσω IV modo plagale



* Martyria non visibile

www.tezaurliturgic.ro

ᾠδὴ ϛ΄

Ἐν ἔτεσι πρὸς τρισὶν
πεντήκοντα ἐν τῷ κίονι
ἐγκαρτερήσας παθῶν,
εἰς τέλος ἐκράτησας
πρὸ τούτοις ἕβδομον δὲ
ἀριθμόν, παμμάκαρ,
τληπαθῶν μηνῶν, Θεόδουλε.

Resistendo alle passioni per quarantotto anni sulla colonna, alla fine sopportasti con pazienza in aggiunta a questi il numero di sette mesi, o beatissimo Teodulo.

Ὁ Λόγος ὁ τοῦ Θεοῦ
τῆς σῆς προβλέπων, ἀοίδιμε,
καρδίας τὸ καθαρὸν καὶ
βίον τὸ ἔνθεον,
δοχεῖον εἰργάσατο
ἀρετῶν καὶ θεῖον
καταγώγιον τοῦ Πνεύματος.

Il Verbo di Dio, ammirando la purezza del tuo cuore, o celebrato, e la tua vita divina, ti rese ricettacolo di virtù e divino vaso dello Spirito.

Νικήσας τῶν πονηρῶν πνευμάτων
τὰ πανουργήματα
καὶ ἀκριβῶς κατ᾽αὐτῶν
τὴν νίκην ἀράμενος,
ταῖς ἄνω, Θεόδουλε,
σὺν ἁγίοις πᾶσιν
ἐπευφραίνου ὁμηγύρεσιν.

Vincendo le malvagità degli spiriti crudeli e innalzando perfettamente la vittoria contro di loro, o Teodulo, gioisti assieme alle schiere celesti, assieme a tutti i santi.

Βοήθειαν καὶ στερρὸν
καὶ ἄρρηκτον τεῖχος ἔχοντες
σὲ τὴν τεκοῦσαν Χριστὸν
τὸν ὄντως Θεὸν ἡμῶν
πειρασμῶν ῥυσθεῖμεν
καὶ πυρὸς ἀσβέστου
οἱ γινώσκοντές σε ἄχραντον.

Avendo te, che hai generato Cristo, vero nostro Dio, come aiuto e solido e indistruttibile baluardo, che possiamo essere liberati dalle tentazioni e dal fuoco inestinguibile, noi che ti riconosciamo come pura!

heirmus: Ἱλάσθητί μοι, σωτήρ, EE 315 p. 220

131 ἐκκαρτερήσας cod.
129-135 cf. *Vita*, cit., col. 761 (§11)

www.tezaurliturgic.ro

VI ode, sulla melodia di: Ἰλάσθητί μοι σωτήρ — IV modo plagale



* Martyria non visibile

www.tezaurliturgic.ro

ᾠδὴ ζ΄

†᾽Ιᾶσαι τὰ τραύματα
τὰ τῆς ψυχῆς μου, πάτερ, δυσώπησον
τῷ τῶν ὅλων Δεσπότῃ
ὡς ἐν ἀσκήσει εὐαρεστήσανται†
καὶ τῶν παγίδων τοῦ ἐχθροῦ με
λύτρωσαι
τὸν προσφυγόντα τὴν σὴν
σκέπην, Θεόδουλε.

Supplica il Signore di tutto di curare le ferite della mia anima, o padre, tu che gli fosti gradito nell'ascesi, e redimi dalle insidie del nemico me che mi rifugio al tuo riparo, o Teodulo.

Νηστείαις καὶ δάκρυσιν
ἐξευμενίζει τὸν Κτίστην φᾶναί σοι
τὸν λαχόντα σοι κλῆρον
ἐν τοῖς ὑψίστοις, διὸ δεικνύει σοι
μετὰ Πανδούρου τὴν οἴκησιν
τεύξασθαι
καθυπακούσας τῶν σῶν,
πάτερ, δεήσεων.

Ti ingrazi il Creatore con digiuni e lacrime affinché ti manifesti la sorte per te designata, nell'alto dei cieli, perciò ti indica che condividerai il destino con il Musicante, ascoltando, o padre, le tue preghiere.

Οἱ πόνοι, φιλάνθρωπε,
οὓς ἐν ἀσκήσει διῆλθον, ἔκραζες
εἰς αὐτόν, με εἰσῆξαν
μετὰ Πανδούρου λαχὼν τὴν οἴκησιν·
οὐ τὸν ἐνθάδε βίον ἀπολείποιμι
εἰ μὴ κατ᾽εἶδος αὐτοῦ
τὸν βίον βλέψας τρανῶς;

"O amico degli uomini, forse che le fatiche che passai nell'ascesi", gridasti a Lui, "mi portarono ad ottenere la stessa sorte del Musicante? Non dovrei forse lasciare la mia vita qui, finché non avrò esaminato nel dettaglio la sua?".

Παρθένε θεόνυμφε,
ἡ τὴν πεσοῦσαν φύσιν τῷ τόκῳ σου
ἀναστήσασα πάλιν,
ἀνάστησόν με ἐκ τοῦ βυθοῦ τῶν παθῶν
καὶ πρὸς τὸ θεῖον λιμένα εἰσάγαγε
τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ
<…>.

O Vergine sposa divina, che innalzasti la natura caduta per mezzo del tuo parto, risolleva me dall'abisso delle passioni e conducimi al divino porto del tuo Figlio e Dio.

heirmus: Θεοῦ συγκατάβασιν, EE 314 p. 219 f. 136v.

157-160 syntaxis dubia vid. Participium indeclinatum? Fort. Ἰᾶσαι] Ἴασαι et δυσώπησον] δυσωπῶ σε non inaptum metro (vide infra adnot. metr.) **165** ἐξευμενίζων cod. **post 183** v. omissus vid. metri causa

171-177 cf. *Vita*, cit., coll. 761 sq. (§12)



Annotazioni metriche: il secondo, quarto e ultimo tropario non accettano la soluzione coriambica dell'irmo. Semplice e consueto l'adattamento alla melodia. La correzione ipotizzata di δυσώπησον in δυσωπῶ σε potrebbe ben inserirsi nella linea neumatica.

www.tezaurliturgic.ro

ᾠδὴ η΄

†Νυκτομαχοῦσαν, ὅσιε,
τὴν ψυχήν μου παθῶν ταῖς ὁρμαῖς
καὶ ὁλοσχερῶς
πρὸς αὐτὰς συνωθούμενον†
διὸ ἱκετεύω σε
τῇ σωστικῇ πρεσβείᾳ σου
πρόστηθι καὶ θραῦσον
τὰς αὐτῶν πανουργίας
ὅπως σὲ μακαρίζω
καὶ πιστῶς ἀνακράζω·
Λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

La mia anima, o santo, che combatte di notte contro gli assalti delle passioni e me del tutto diretto verso di essi… perciò ti supplico, con la tua intercessione salvifica proteggi e abbatti la loro malvagità, affinché io ti lodi e con fede gridi: “Popolo lodateLo per tutti i secoli”.

Ἡ τῶν δαιμόνων, ὅσιε,
πονηρὰ φάλαγξ γέγονε
φροῦδος τῷ πυρὶ
τῶν προσευχῶν τῶν θείων σου
καὶ πάθη ἠλάθησαν
δι᾽ἄκρας ἐγκρατείας σου
καὶ τῆς ἀρχικῆς Τριάδος
γέγονας οἶκος
καὶ Πνεύματος δοχεῖον
καθαρότατον μέλπεις·
Λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

La crudele falange dei demoni, o santo, svanì grazie al fuoco delle tue divine preghiere, e le passioni furono scacciate via per mezzo della tua perfetta temperanza, e fosti dimora della Trinità sovrana e, purissimo recipiente dello Spirito, canti: “Popolo lodateLo per tutti i secoli”.

Σὺν ἀποστόλοις, ὅσιε,
καὶ προφήταις καὶ μάρτυσιν
καὶ σὺν τῶν ὁσίων
τοῖς χοροῖς ἱκέτευε
τὸν μόνον Φιλάνθρωπον
ὑπὲρ ἡμῶν τῶν πίστει σου
τὴν μνήμην τὴν ἁγίαν
καὶ σεπτὴν εὐφημούντων
καὶ σὲ μακαριζόντων,
τοῦ Κυρίου θεράπον,
Θεόδουλε τρισμάκαρ,
τυχεῖν τῆς ἄνω δόξης.

Assieme agli apostoli, o santo, ai profeti e ai martiri, e con i cori dei santi, supplica l’unico Misericordioso per noi che con fede benediciamo la tua santa e venerabile ricorrenza e ti chiamiamo beato, servo del Signore, beatissimo Teodulo, affinché possiamo ottenere la gloria del cielo.

www.tezaurliturgic.ro

Φιληδονίας ῥῦσαί με
τῶν παθῶν, θεονύμφευτε,
καὶ τῆς τῶν δαιμόνων
ἐπηρείας λύτρωσαι
καὶ θείας λαμπρότητος
καὶ δόξης καταξίωσον
τοῦ δημιουργοῦ
καὶ λυτρωτοῦ τῶν ἁπάντων
ὅπως ὑμνολογῶ σε
καὶ πιστῶς ἀνακράζω·
Λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας

Liberami dalla bramosia per le passioni, o sposa divina, e redimimi dagli assalti dei demoni, e rendimi degno dello splendore divino e della gloria del Creatore e Redentore di tutti, affinché io ti lodi e con fede proclami: “Popolo lodateLo per tutti i secoli”.

heirmus: Ἑπταπλασίως κάμινον, EE 314 p. 219 sg.

184-187 cruces posui ego **201** ἄχραν cod.

www.tezaurliturgic.ro

VIII ode, sulla melodia di: ‘Επταπλασίως κάμινον IV modo plagale



* Martyria non visibile



Annotazioni metriche: i tropari rispettano l'isosillabismo, ma la colizzazione appare diversa rispetto a quella dell'irmo. In alcuni punti l'inno foziano segue l'accentazione dell'irmo, che però contrasta con quella "musicale" ad esempio in πάθη ἠλάθησαν, dove i codici notati accentano ἠ-, e in καθαρότατον μέλπεις, dove la *petasté* (che pur probabilmente non possiede la natura di vero accento) marca τα-. Si è proceduto a trascrivere sotto alle note il testo del secondo tropario, in quanto il primo, nella sua parte iniziale, appare problematico dal punto di vista sintattico.

ᾠδὴ θ΄

Ὡς πάλαι ὁ Θεσβίτης εἰς
οὐρανοὺς
ἀρετῶν ἐποχούμενος ἅρματι,
συνανελθὼν
καὶ σὺν ἀγγέλοις χοροβατῶν
ταῖς ἄνω κατοικίαις,
ὅπου τὸ πολίτευμα ἐμφανῶς
ἐγράφη σου, θεόφρον
Θεόδουλε, τὸ θεῖον,
ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευε.

O Teodulo dalla mente divina, innalzato ai cieli a bordo del carro delle virtù, come un tempo il Tesbita, danzando con gli angeli nelle dimore celesti, dove chiaramente fu scritto il tuo divino modo di vita, supplica sempre per noi.

Τῆς ἄνω κληρουχίας ἐπιτυχεῖν
τοὺς ὑμνοῦντάς σε, πάτερ,
δυσώπησον
τὸν Λυτρωτὴν
πάντων καὶ Δεσπότην καὶ Ποιητὴν
τοὺς τὴν ἁγίαν μνήμην σου
πίστει ἐκτελοῦντας χαρμονικῶς
καὶ σὲ προσκαλουμένους
ὡς θεῖον καὶ θεοφόρον
τῆς οἰκουμένης μάκαρ ἥλιον.

Supplica il Redentore di tutto, Signore e Creatore, o padre, che ottengano l'eredità del cielo coloro che a te inneggiano, che con fede compiono gioiosamente la tua santa commemorazione e ti pregano come divino e teoforo, beato sole dell'ecumene.

Ἱλάσθητι τοῖς δούλοις σου, ὁ Θεός,
καὶ δεινῆς κατακρίσεως λύτρωσαι,
ὡς ἀγαθὸν
πρέσβυν προβαλλόμεθα τῶν καλῶν
καὶ θαυμαστὸν Θεόδουλον,
καὶ τῆς βασιλείας τῶν οὐρανῶν
σὺν πᾶσι τοῖς ἁγίοις
ἀξίωσον, οἰκτίρμων
ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

Sii benigno con i tuoi servi, o Dio, e redimici dalla tremenda condanna, poiché come buono e mirabile ambasciatore di beni proponiamo Teodulo, e rendici degni del regno dei cieli con tutti i santi, come misericordioso e amico degli uomini.

Σὲ μόνην, Θεομῆτορ, καταφυγήν,
προστασίαν καὶ σκέπη κεκτήμεθα
οἱ ταπεινοί,
Δέσποινα, ἡμεῖς οἱ ἁμαρτωλοί,
προφθάσασα διάσωσον
τῷ πειρατηρίῳ τοῦ πονηροῦ,
ἁγία Θεοτόκε,
πυρός τε τοῦ ἀσβέστου,
ἡμᾶς τοὺς πόθῳ ἀνυμνοῦντάς σε.

Abbiamo te come unico rifugio, o Madre di Dio, come difesa e protezione, o Regina, noi miseri peccatori, affrettati a preservare dalla tentazione del malvagio, o santa Genitrice di Dio, e dal fuoco inestinguibile noi che con desiderio inneggiamo a te.

heirmus: Ἐξέστη ἐπὶ τούτῳ, EE 314 p. 220

232 sq. *cf.* 2Re 2, 11 **236** νι super κατοικίαις addidit librarius fort. ad metrum explendum, ἐν fort. ego metri causa ante ταῖς **242 sq.** τοῖς ὑμνοῦσίν σε cod. **252** ἀγαθὸς cod.

www.tezaurliturgic.ro

IX ode, sulla melodia di: Ἐξέστη ἐπὶ τούτῳ — IV modo plagale



* Martyria non visibile

Annotazioni metriche: i vv. 235 sg. hanno entrambi una sillaba in meno dell'irmo.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

Sette canoni per san Nicola di Mira

Di sette canoni per san Nicola di Mira, dichiarati foziani dai loro acrostici, si offre qui l'edizione critica (controllata su quella recente di D. N. Strategopoulos[159]) corredata di traduzione italiana e di trascrizione musicale, oltre ad un'introduzione che definisce alcuni dei problemi inerenti tale *corpus* innografico.

Il codice Sin. gr. 783

Il *corpus* di canoni per san Nicola qui in esame, già segnalato negli anni '90 da A. Komines e da K. A. Manaphes[160], è presente nel codice Sin. gr. 783, una *paracletica* databile all'XI secolo:

> Sinai, Μονὴ τῆς ῾Αγίας Αἰκατερίνης gr. 783, 224 ff.
> Saec. XI, membr.
> Cat: V. Gardthausen, *Catalogus codicum Graecorum Sinaiticorum*, Oxonii 1886, p. 168
> *Checklist of Manuscripts in St. Catherine's Monastery, Mount Sinai, Microfilmed for the Library of Congress, 1950* prepared under direction of K. Clark, Washington 1952
> M. Kamil, *Catalogue of All Manuscripts in the Monastery of St. Catherine on Mount Sinai*, Wiesbaden 1970, nr. 1069

Il manoscritto, mutilo all'inizio, vergato da tre mani diverse (A: 1-132v, f. 214r-v, B: ff. 133r-214r; 215r-v, C: ff. 215v-224) e sottoscritto dal terzo copista[161], contiene soltanto canoni, con l'esclusione degli *addenda* finali costituiti dai primi sei ἐξαποστειλάρια ἑωθινά di Costantino Porfirogenito seguiti ciascuno da un *theotokion.*

Sono presenti in totale novantasei canoni (copiati sempre ad odi intrecciate), due per ciascun giorno della settimana da lunedì a sabato, per un ciclo di otto settimane, a ciascuna delle quali corrisponde un modo musicale su cui sono intonati tutti gli inni presenti in quella settimana.

---

[159] D. N. Strategopoulos, *Ὁ ἱερὸς Φώτιος ὑμνογράφος τοῦ ἁγίου Νικολάου. Κριτικὴ ἔκδοση*, Ἀθήνα 2009.

[160] A. Komines, *῾Υπῆρξεν ὁ ἱερὸς Φώτιος ποιητής; sive Analecta hymnica Graeca, e codicibus eruta Orientis Christiani*, "Δίπτυχα" VI, 1994-1995, pp. 21-26, K. A. Manaphes, *Φωτίου Πατριάρχου Κωνσταντινουπόλεως ἄγνωστοι ὀκτώηχοι κανόνες εἰς τὸν ἅγιον ᾽Ιωάννην τὸν θεολόγον,* in "Μνήμη ἁγίων Γρηγορίου τοῦ θεολόγου καὶ μεγάλου Φωτίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως", Θεσσαλονίκη 1994, pp. 493-565.

[161] F. 224v: Νεικωλ. πρ. ὦ ατηωχευς ευχεσθε αυτῶν αμῆν.

Al lunedì si leggono un canone κατανυκτικός e uno per gli Angeli, al martedì uno κατανυκτικός e uno per san Giovanni Prodromo, al mercoledì uno σταυρώσιμος e uno per san Giovanni Crisostomo, al giovedì uno per gli Apostoli e uno per san Nicola, al venerdì uno σταυρώσιμος e uno per san Giovanni il Teologo, al sabato il κοινός εἰς μάρτυρας, ἱεράρχας, ὁσίους e uno per i defunti. Il *corpus* innografico offerto dal codice è in gran parte sovrapponibile al repertorio accolto nell'edizione romana della *Paracletica* (PaR, ed. Propaganda Fide 1895), ma fa spazio anche a canoni che non hanno goduto della stessa fortuna degli altri e che sono rimasti sinora inediti.

Elenco qui gli *incipit* degli inni, poiché risulta ancora non noto alla comunità scientifica il contenuto dettagliato del codice:

F. 1r-v: Incipit mutilo. Il *recto* è severamente danneggiato nella metà superiore. Il primo testo distinguibile è Ἱλάσθητί μοι, Σωτήρ, πολλαὶ γὰρ: irmo (EE 315 p. 220) scritto per esteso dei tropari della sesta ode (inc. Διὰ ξύλου κραταιῶς) del canone per tutti i Santi di IV modo plagale, con incipit Τῶν σῶν Ἁγίων ἀνυμνῶν τὰ τάγματα. Acrostico: Τῶν Ἁγίων πάντων πολυώνυμα τάγματα μέλπω. Il canone prosegue sul *verso* ma si interrompe dopo il secondo *colon* del secondo tropario della nona ode: Ὁ σταυρωθεὶς ἐγήγερται. Si deve postulare una lacuna tra gli attuali 1v e 2r.

F. 2r: Inchiostro per ampi tratti evanido. In base alla struttura del codice si dovrebbero leggere due canoni ad odi intrecciate (κατανυκτικὸς καὶ τῶν ἀσωμάτων). Il primo canone, di acrostico Τῶν πταισμάτων μου τὸν ῥύπον πλύνον, Λόγε. Ἰωσήφ è sull'irmo Σοῦ ἡ τροπαιοῦχος δεξιά. Il secondo, di acrostico Θεοφάνους ὁ πρῶτος Ἀγγέλων ὕμνος e incipit: Θρόνῳ παριστάμενοι φαιδρῶς, è anch'esso su Σοῦ ἡ τροπαιοῦχος δεξιά. Il primo incipit leggibile è Ἀγγέλων λαμπρότητας ὑμνεῖν (III ode del secondo canone).

F. 2v-6r: prosieguo dei due canoni intrecciati.

F. 6r-11v: Τῇ γ΄ κανὼν κατανυκτικὸς καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου.
Acr. Δέχοιο, Χριστέ, τούς<δε> τοὺς ἐμοὺς λόγους. Ἰωσήφ. Inc. Δουλούμενος πάθεσι τῆς ἁμαρτία<ς>, *heirm.* Ὠιδὴν ἐπινίκιον ᾄσωμεν.
Εἱρμὸς ἄλλος, Inc. Ἐν τῷ τῆς πρεσβείας σου φωτί (inedito), *heirm.* Σοῦ ἡ τροπαιοῦχος. Acr. in *theotociis* Γε(ε)ωργίου

F. 11v-17v: Τῇ δ΄ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.
Acr. Σταυρώσεώς με τοῦ παθόντος Δεσπότου. Inc. Σταυρῷ, Χριστέ, ἀνυψούμενος, *heirm.* Πικρᾶς δουλείας ῥυσθείς, scritto per esteso (è segnalato invece in rubrica l'irmo Χριστὸς γεννᾶται). Εἱρμὸς ἄλλος (f. 12r.), inc. Παγχρύσοις σου δόγμασι, *heirm.* Ὠιδὴν ἐπινίκιον ᾄσωμεν (inedito).

F. 17v-22v: Τῇ ε΄ κανὼν τῶν ἁγίων ἀποστόλων καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου.
Acr. Τοὺς τοῦ Λόγου μαθητὰς εὐφημεῖν θέμις. Inc. Τοὺς λαμπτῆρας τῶν ἐν σκότει, *heirm.* Τῷ τὴν θάλασσαν (inedito).
Εἱρμὸς ἄλλος, inc. (f. 18r) Ἐπὶ τὴν πρεσβείαν σου, σοφέ, *heirm.* Σοῦ ἡ τροπαιοῦχος δεξιά. Acr. Εἰς Νικόλαον πρῶτος ὕμνος Φωτίου.

F. 23r-28v: Τῇ παρασκευῇ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.
Acr. Πάθος τὸ σεπτὸν αἰνέσω τοῦ Δεσπότου. <Ἰωσήφ>. Inc. Παθεῖν ἠνέσχου δι'ἡμᾶς, *heirm.* Τῷ βοηθήσαντι Θεῷ.
Εἱρμὸς ἄλλος, inc. (f. 23v) Πρὸς τὸ ὑπερβάλλον ἀφορῶν, *heirm.* Σοῦ ἡ τροπαιοῦχος δεξιά. Acr. Πρώτην κομίζω σοι δέησιν, παμμάκαρ. Φώτιος(ς).

F. 28v-33v: Τῷ σαββάτῳ κανὼν παρακλητικὸς καὶ εἰς κοιμηθέντας.
Acr. Θεὸν ποθοῦσιν θεῖον ἐξᾴδω μέλος. Inc. Θυρεῷ εὐσεβείας οἱ θεῖοι, *heirm.* Διὰ στύλου πυρός.
Εἱρμὸς ἄλλος, inc. (f. 29r) Πύλας τοῦ θανάτου καὶ μοχλοὺς τῷ σῷ θανάτῳ, *heirm.* Σοῦ ἡ τροπαιοῦχος. Acr. Πιστῶς θανοῦσιν πρῶτον ὕμνον προσφέρω.

F. 33v-38r: Τῇ β΄ κανὼν κατανυκτικὸς καὶ τῶν ἀσωμάτων.
Acr. Ὄμβρους δίδου[ς] μοι δακρύω[ς]<ν>, Θεοῦ Λόγε. Ἰωσήφ. Inc. Ὁ σαρκωθεὶς καὶ μὴ δικαίους, *heirm.* Δεῦτε λαοί.
Εἱρμὸς ἄλλος, inc. (f. 34r) Ἄνθρακας θεοφόρους τῇ αἴγλῃ, *heirm.* Ἄτριπτον, ἀσυνήθη ἀβρόχως. Acr. Ἄιδω τὸν αἶνον τῷ χορῷ τῶν Ἀγγέλων.

F. 38r-43v: Τῇ γ΄ κανὼν κατανυκτικὸς καὶ τῆς ὑπεραγίας Θεοτόκου καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου.
Acr. Ἐμοῖς ὀδυρμοῖς χώραν, ὦ Σῶτερ, νέμοις. Ἰωσήφ. Inc. Ἑαυτούς, ἀδελφοί, πρὸ τῆς ἐξόδου, *heirm.* Τὴν Μωσέως ᾠδὴν ἀναλαβοῦσα.
Εἱρμὸς ἄλλος, inc. (f. 38v) Τὰς νοητὰς τρίβους μοι εὐθείας ποίησον, *heirm.* Δεῦτε λαοί. Acr. in *theotociis*: Γεωργίου (inedito).

F. 43v-48v: Τῇ δ΄ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.
Acr. Πτῶσις πέφυκεν δαιμόνων σταυροῦ στάσις. Ἰωσήφ. Inc. Παραβὰς τὴν πρώτην ἐντολήν, *heirm.* Ἐν βυθῷ κατέστρωσε ποτέ.
Ὁ αὐτὸς εἱρμός, inc. (f. 44r) Μετανοίας σάλπιγξ γεγονὼς πάτερ μεγαλόφωνος, su Ἐν βυθῷ κατέστρωσε ποτέ. Acr. in Cant. IX: Ἰωσήφ.

F. 49r-53v: Τῇ ε΄ κανὼν τῶν ἁγίων ἀποστόλων καὶ εἰς τὸν ἅγιον Νικόλαον.
Acr. Λόγου μαθητὰς τοῖσδε τοῖς λόγοις σέβω. Inc. Λύρα ὤφθητε τοῦ παναγίου Πνεύματος, *heirm.* Τῷ τὴν ἄβατον (inedito).
Εἱρμὸς ἄλλος, inc. (f. 49r) Στεφηφόρος βήματι Χριστοῦ, *heirm.* Ἐν βυθῷ κατέστρωσε ποτέ. Acr. Σοὶ Νικόλαε θεῖον ἐπᾴδω μέλος.

F. 53v-58v: Τῇ παρασκευῇ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.
Acr. Σταυροῦ παγέντος δαιμόνων πίπτει πλάνη. Ἰωσήφ. Inc. Σταύρωσιν κατεδέξω, καὶ ἥλοις, *heirm.* Ἄτριπτον, ἀσυνήθη ἀβρόχως.
Εἱρμὸς ἄλλος, inc. (f. 54r) Δέξαι, σοφέ, τὴν ἐκ καρδίας μου δέησιν, *heirm.* Δεῦτε λαοί. Acr. Δέησις οἰκτρὰ δευτέρα τῷ θευλόγῳ. Φωτίου.

F. 58v-63v: Τῷ σαββάτῳ κανὼν εἰς μάρτυρας καὶ εἰς ἱεράρχας καὶ εἰς ὁσίους καὶ κοιμηθέντας, καὶ ἕτερον (sic) εἰς κοιμηθέντας.
Acr. Δούλοις ἔπαινον γνησίοις Θεοῦ φέρω. Inc. Διωγμοὺς χαλεποὺς καὶ αἰκισμούς, *heirm.* Τὴν Μωσέως ᾠδὴν ἀναλαβοῦσα.
Εἱρμὸς ἄλλος, inc. (f. 59r) Τῷ θανάτῳ σου καταπατήσας θάνατον, *heirm.* Τῷ τὴν ἄβατον, acr. Τοῖς τε[π]<θ>νεῶσιν δεύτερον πλέκ[ο]<ω> μέλος.

www.tezaurliturgic.ro

F. 63v-68r: Τῇ β΄ κανὼν κατανυκτικὸς καὶ τῶν ἀσωμάτων.
Acr. Ἐγκλημάτων πολλῶν με κούφισον, Λόγε. Τοῦ Ἰωσήφ. Inc. Ἐγκλημάτων ῥῦσαί με, *heirm.* Φαραὼ τὰ ἅρματα.
Εἱρμὸς ἄλλος, inc. (f. 64r) Ἄναρχον φῶς καὶ παρεκτικόν, *heirm.* Ἆισμα καινὸν ᾄσωμεν λαοί, acr. Ἄγω τρίτον μέλισμα τοῖς Ἀσωμάτοις.

F. 68r-73r: Τῇ γ΄ κανὼν κατανυκτικὸς καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου.
Acr. Ἐμοῖς στεναγμοῖς πρόσ<σ>χες, ὦ Θεοῦ Λόγε. Ἰωσήφ. Inc. Ἑαυτοὺς πρὸ τέλους, *heirm.* Θαυμαστὸς ἐν δόξῃ ποιῶν τέρατα.
Εἱρμὸς ἄλλος, inc. (f. 68v) Ὁ πρὸ πάντων αἰώνων ἐν ἀπορρήτῳ, *heirm.* Ὁ τὰ ὕδατα πάλαι, acr. in *theotociis* Γεωργίου (inedito).

F. 73v-79r: Τῇ δ΄ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.
Acr. Πόνους ἔπαυσας τῶν βροτῶν πόνοις, Λόγε. Ἰωσήφ. Inc. Πολυώδυνα πάθη ἔπαυσας, Λόγε, *heirm.* Ὁ τὰ ὕδατα πάλαι.
Εἱρμὸς ἄλλος, inc. Τοῦ καλοῦ ποιμένος, *heirm.* Θαυμαστὸς ἐν δόξῃ ποιῶν τέρατα, acr. in Cant. IX: Ἰωσήφ (inedito).

F. 79r-84v: Τῇ ε΄ κανὼν τῶν ἁγίων ἀποστόλων καὶ τοῦ ἁγίου Νικολάου.
Acr. Τοὺς φωτοειδεῖς κήρυκας νῦν αἰνέσω. Ἰωσήφ. Inc. Τὰς τοῦ Λόγου σάλπιγγας (inedito), *heirm.* Τεμνομένην θάλασσαν.
Εἱρμὸς ἄλλος, inc. (f. 79v) Ἀληθείας ὑπάρχων κῆρυξ, *heirm.* Ὁ τὰ ὕδατα πάλαι.
Acr. Αἶνον τρίτον, σοὶ Νικόλαε, προσφέρω. Φώτιος.

F. 84v-89r: Τῇ παρασκευῇ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.
Acr. Καύχημα πιστῶν σταυρός ἐστιν καὶ κλέος. Ἰωσήφ. Inc. Κύματα θαλάσσης τῇ ῥάβδῳ, *heirm.* Χέρσον ἀβυσσοτόκον πέδον.
Εἱρμὸς ἄλλος, inc. (f. 85r) Τῇ τμητικῇ μαχαίρᾳ μάκαρ, *heirm.* Ἆισμα καινὸν ᾄσωμεν. Acr. Ταύτην δέησιν καὶ τρίτην σοι προσφέρω.

F. 89r-95v: Τῷ σαββάτῳ κανὼν εἰς μάρτυρας, ἱεράρχας, ὁσίους καὶ εἰς κοιμηθέντας.
Acr. Μύσταις προσοίσω τοῦ Θεοῦ θεῖον μέλος. Ἰωσήφ. Inc. Μαρτυρίου κλέος, σοφοί, ἐλάβετε, *heirm.* Θαυμαστὸς ἐν δόξῃ ποιῶν τέρατα.
Εἱρμὸς ἄλλος, inc. (89v) Τῇ ταφῇ σου θάνατον θανατώσας, *heirm.* Τεμνομένην θάλασσαν.
Acr. Τοῦτο τρίτον μέλισμα θνῄσκουσιν νέμω.

F. 95v-100r: Τῇ β΄ κανὼν κατανυκτικὸς καὶ τῶν ἀσωμάτων.
Acr. Σῶσόν με, Σῶτερ, ὡς τὸν ἄσωτον [σῶσον] <πάλαι>. Ἰωσήφ. Inc. Σῶτέρ μου Ἰησοῦ, ὃς τὸν ἄσωτον, *heirm.* Τριστάτας κραταιούς.
Εἱρμὸς ἄλλος, inc. (f. 96r) Ὡς νόες καθαροὶ τῷ μεγάλῳ, *heirm.* Τριστάτας κραταιούς. Acr. Ὠιδὴ τετάρτη τῶν Ἀσωμάτων νόων.

F. 100r-105v: Τῇ γ΄ κανὼν κατανυκτικὸς καὶ εἰς ἅγιον Ἰωάννην τὸν Πρόδρομον.
Acr. Καθαρτικοῖς με δάκρυσιν πλύνον, Λόγε. Ἰωσήφ. Inc. Κεκρυμμένως [πράττοντα] <τηράττοντα>, *heirm.* Ὁ πατάξας Αἴγυπτον.
Εἱρμὸς ἄλλος, inc. (100v) Ὁ χάριτος Θεοῦ, *heirm.* Τριστάτας κραταιούς, acr. in *theotociis*: Γεωργίου (inedito).

F. 105v-110v: Τῇ δ΄ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου

Acr. Ὁ σταυρός ἐστιν ὅπλον σωτηρίας. Inc. Ὁ τείνας τὸν οὐρανόν, *heirm.* Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος.
Εἱρμὸς ἄλλος, inc. (f. 106r) Καθαρὸν ὡς ἔσοπτρον, *heirm.* Ὁ πατάξας Αἴγυπτον, acr. in Cant. IX: Ἰω<σ>ήφ

F. 110v-116r: Τῇ ε΄ κανὼν τῶν ἀποστόλων καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου.
Acr. Μαθητὰς ὑμνεῖν τοῦ Λόγου μέγα κλέος. Ἰωσήφ. Inc. Μεθέξει φωτὸς ἀύλου, *heirm.* Οἱ χοροὶ Ἰσραήλ (inedito).
Εἱρμὸς ἄλλος, inc. (f. 111r) Τὴν ἄκανθαν, σοφέ, *heirm.* Τριστάτας κραταιούς. Acr. Τέταρτος ὕμνος τῷ καλῷ μου προστάτῃ. Φωτίου.

F. 116r-112r: Τῇ παρασκευῇ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.
Acr. Σταυρῷ παγεὶς ὁ Χριστὸς τὴν πλάνην λύει. Ἰωσήφ. Inc. Σταυρῷ διεπέτασας, *heirm.* Ἀνοίξω τὸ στόμα μου.
Εἱρμὸς ἄλλος, inc. (f. 116v) Δεχόμενος τὴν ἡμῶν ἱκέσιον, *heirm.* Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος. Acr.: Δέχου δέησιν καὶ τετάρτην, θευλόγε. Φωτίου[υ].

F. 112r-127r: Τῷ σαββάτῳ κανὼν εἰς μάρτυρας, ἱεράρχας, ὁσίους καὶ εἰς κοιμηθέντας.
Acr. Φαιδρῶς ἐπαίνω τοὺς Θεοῦ χρηστοὺς φίλους. Inc. Φαιδρύνεται ἀεί, *heirm.* Τριστάτας κραταιούς.
Εἱρμὸς ἄλλος, inc. (f. 112v) Κρατήσας τῆς δεξιᾶς, *heirm.* Θαλάσσης τὸ Ἐρυθραῖον. Acr. Κανὼν τέταρτος τοῦ τέλους μεμνημένος.

F. 127r-131r: Τῇ β΄ κανὼν κατανυκτικὸς καὶ τῶν ἀσωμάτων.
Acr. Τὸν πολλά σοι πταίσαντα οἰκτειρον, Λόγε. Ἰωσήφ. Inc. Τὸν πολλαῖς ἀπάταις ἐξελκόμενον, *heirm.* Ἄισωμεν τῷ Κυρίῳ.
Εἱρμὸς ἄλλος, inc. (f. 127v) Μύσται τῆς θεαρχίας, *heirm.* Ἵππον καὶ ἀναβάτην. Acr.: Μέλος ἀγγέλοις τὸ πέμπτον.

F. 131r-135v: Τῇ γ΄ κανὼν κατανυκτικὸς καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου.
Acr. Ἱλασμὸν ἡμῖν, Χριστέ, πταισμάτων δίδου. Inc. Ἱλασμόν μοι δώρησαι τῶν πεπραγμένων, *heirm.* Γῆν ἐφ’ ἣν οὐκ ἔλαμψεν.
Εἱρμὸς ἄλλος, inc. (f. 131v) Τοῦ νόμου προκηρύξας, *heirm.* Ἵππον καὶ ἀναβάτην, acr. in *theotociis*: Γεωργίου (inedito).

F. 135v-139v: Τῇ δ΄ κανὼν σταυρώσιμος καὶ τοῦ Χρυσοστόμου.
Inc. Τὸν ἀκαταληψίᾳ κατανοούμενον, *heirm.* Ἵππον καὶ ἀναβάτην. Acr. Τὸν κόσμον ὑψοῖ Χριστὸς ὑψωθεὶς ξύλῳ. Ἰωσήφ.
Εἱρμὸς ὁ αὐτός, inc. Πρᾶξιν καὶ θεωρίαν πλουτήσας. Acr. Πέμπτον μέλισμα τῷ Χρυσοστόμῳ· Ἰωσήφ (inedito).

F. 139v-143r: Τῇ ε΄ κανὼν παρακλητικὸς τῶν ἁγίων ἀποστόλων καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου.
Acr. Τὰς πανσόφους σάλπιγγ[ο]<α>ς ὑμνῶ τοῦ Λόγου. Ἰωσήφ. Inc. Τοῦ Λόγου τὰς σάλπιγγας ὑμνήσω, *heirm.* Ὠιδὴν ἐπινίκιον προσάξωμεν.
Εἱρμὸς ἄλλος, inc. (f. 140v) Πέλαγός με κινδύνων, *heirm.* Ἵππον καὶ ἀναβάτην. Acr. Πέμπτος κανὼν πέφυκε τῷ πανολβίῳ· Φωτίου.

F. 143r-147r: Τῇ παρασκευῇ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.

www.tezaurliturgic.ro

Acr. Παθῶν με σῴζοις τῷ πάθει σου, Χρι[τ]<σ>τέ μου, τὸν Ἰωσήφ. Inc. Παθοκτόνον, Χριστέ, *heirm.* Τῷ σωτῆρι Θεῷ.
Εἱρμὸς ἄλλος, inc. (f. 143v) Πίστει πολλῇ καὶ πόθῳ, *heirm.* Ἵππον καὶ ἀναβάτην. Acr. Πέμπτη δέησις τῷ μαθητῇ τοῦ Λόγου. Φωτίου.

F. 147r-150v: Τῷ σαββάτῳ κανὼν εἰς μάρτυρας, εἰς ἱεράρχας, εἰς ὁσίους καὶ εἰς κοιμηθέντας.
Acr. Σοῖς Χριστὲ δούλοι[τ]<ς> τούσδε τοὺς ὕμνους φέρω. Ἰωσήφ. Inc. Σώματα προ[θ]<ι>έμενοι, *heirm.* Γῆν ἐφ'ἣν οὐκ ἔλαμψεν.
Εἱρμὸς ἄλλος, inc. (f. 147v) Θειοτάτῃ στοργῇ οἱ ἀθλοφόροι, *heirm.* Τῷ σωτῆρι Θεῷ. Acr. Θεηφάνους ὁ πέμπτος εἰς νεκροὺς κανών.

F. 150v-153v: Τῇ β΄ κανὼν κατανυκτικός· τῶν ἀσωμάτων.
Acr. Τῶν ὀμμάτων μου Χριστὲ τὸν κλαυθμὸν δέχου. Ἰωσήφ. Inc. Τὸν ἐμπεσόντα, Χριστέ, *heirm.* Ὁ αἰσθητὸς Φαραώ.
Εἱρμὸς ἄλλος (f. 151r) inc. Ἐπουρανίου χορείας ἀνευφημῶν, *heirm.* Ὡς ἐν ἠπείρῳ πεζεύσας. Acr. Ἕκτη πέφυκε τῶν νόων μελῳδία.

F. 153v-158r: Τῇ γ΄ κανὼν κατανυκτικὸς καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου.
Acr. Λυτρωτὰ Χριστὲ κούφισόν με πταισμάτων. Ἰωσήφ. Inc. Λυτρωτά μου Ἰησοῦ, *heirm.* Βοηθὸς καὶ σκεπαστής.
Εἱρμὸς ἄλλος, inc. (f. 154r) Τοῦ ἀπροσίτου ἡλίου, *heirm.* Ὡς ἐν ἠπείρῳ πεζεύσας, acr. in *theotociis*: Γεωργίου (inedito).

F. 158r-162v: Τῇ δ΄ κανὼν σταυρώσιμος καὶ τοῦ Χρυσοστόμου.
Acr. Πάθος τὸ σεπτὸν αἰν[α]<έ>σω τοῦ Δεσπότου. Ἰωσήφ. Inc. Πάθει σου τιμίῳ, *heirm.* Κύματι θαλάσσης.
Εἱρμὸς ἄλλος, inc. (f. 158v) Ἐκ τῶν ἀναγκῶν μου τοῦ βίου, *heirm.* Κύματι θαλάσσης. Acr. Ἕκτη δέησις τῷ Χρυσοστόμῳ πρέπει. Ἰωσήφ.

F. 162v-167r: Τῇ ε΄ κανὼν παρακλητικὸς καὶ τῶν ἀποστόλων καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου.
Acr. Τὰς αὐγὰς ὑμνῶ τοῦ φαεινοῦ ἡλίου. Ἰωσήφ. Inc. Τοὺς ἀποστόλους οἷα οὐρανούς (inedito), *heirm.* Τμηθείσῃ τμᾶται πόντος Ἐρυθρός.
Εἱρμὸς ἄλλος, inc. (f. 163r) Ἐν οὐρανοῖς τῷ Δεσπότι, *heirm.* Ὡς ἐν ἠπείρῳ πεζεύσας. Acr. Ἕκτον μέλος σοι προσφέρω θεηγόρε. Φώτιος.

F. 167r-171v: Τῇ παρασκευῇ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.
Acr. Σῴζεις με, Σῶτερ, προσπαγεὶς ἐπὶ ξύλου, τὸν Ἰωσήφ. Inc. Σὺ τὰς παλάμας ἁπλώσας, *heirm.* Ὡς ἐν ἠπείρῳ πεζεύσας.
Εἱρμὸς ἄλλος, inc. (f. 167v) Ἐκ ῥυπαρῶν μου χειλέων καὶ ἐκ ψυχῆς, *heirm.* Ὡς ἐν ἠπείρῳ πεζεύσας. Acr. Ἕκτην δέησίν σοι, θεόπτα, προσφέρω. Φώτιος σος.

F. 171v-175r: Τῷ σαββάτῳ κανὼν εἰς μάρτυρας, ἱεράρχας, ὁσίους καὶ εἰς κοιμηθέντας.
Acr. Λόγοις γεραίρω τοὺς ἐραστὰς τοῦ Λόγου. Ὁ Ἰωσήφ. Inc. Λελαμπρυσμένῳ νοΐ, *heirm.* Ὁ αἰσθητὸς Φαραώ.
Εἱρμὸς ἄλλος inc. Ἐν οὐρανίοις θαλάμοις διηνεκῶς, *heirm.* Ὡς ἐν ἠπείρῳ πεζεύσας. Acr. Ἕκτον π[λ]<ρ>οσαυδῶ τοῖς ἀπελθοῦσιν μέλος.

F. 175r-178r: Τῇ β΄ κανὼν κατανυκτικὸς καὶ τῶν ἀσωμάτων.
Acr.: Ἐμοὺς στεναγμοὺς προσδέχου, Θεοῦ Λόγε. Ἰωσήφ. Inc. Ἐν τῷ πελάγει τῶν δεινῶν, *heirm.* Τῷ συνεργήσαντι Θεῷ.
Εἱρμὸς ἄλλος, inc. Ἀπειροδύναμε Χριστέ, τῷ σῷ φωτί, *heirm.* Τῷ ἐκτινάξαντι Θεῷ. Acr. Ἀσωμάτοις ἔπαινον ἕβδομον φέρω.

F. 178r-182v: Τῇ γ΄ κανὼν κατανυκτικὸς καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου.
Acr. Καθαρτικοῖς με δάκρυσιν, Σῶτερ, πλῦνον. Ἰωσήφ. Inc. Καθ’ἑκάστην ἁμαρτάνω, *heirm.* Τῷ συντρίψαντι πολέμους.
Εἱρμὸς ἄλλος, inc. (f. 178v) Ἔδησας τὰς ἐν νόμῳ, *heirm.* Νεύσει σου πρὸς γεώδη, acr. in *theotociis*: Γεωργίου (inedito).

F. 182v-186v: Τῇ δ΄ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.
Acr. Σταυρὸς φυτευθεὶς τὴν πλάνην ἀνέσπασεν. Ἰωσήφ. Inc. Σταύρωσιν ὁ Δεσπότης, *heirm.* Νεύσει σου πρὸς γεώδη.
Ὁ αὐτὸς εἱρμός, inc. (f. 182v) Ὤφθης ὡραϊσμένος τῶν ἀρετῶν ταῖς ἰδέαις, *heirm.* Νεύσει σου πρὸς γεώδη. Acr. Ὠιδὴν φέρω σοι ἑβδόμην Χρυσοῦν στόμα. Ἰωσήφ.

186v-191r: Τῇ ε΄ κανὼν παρακλητικὸς καὶ τῶν ἁγίων ἀποστόλων καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου.
Acr. Μαθητὰς ὑμνῶ πανσόφους τοῦ Δεσπότου. Ἰωσήφ. Inc. Μόνον τὸν ὄντως ὄντα Θεόν (inedito), *heirm.* Πόντῳ ἐκάλυψε Φαραώ.
Εἱρμὸς ἄλλος, inc. (f. 187r) Μύστα τῶν ἀπορρήτων, θεομακάριστε πάτερ, *heirm.* Νεύσει σου πρὸς γεώδη. Acr. Μέλος πέφυκεν ἕβδομον Νικολάῳ. Φωτίου.

F. 191r-195r: Τῇ παρασκευῇ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.
Acr. Χριστὸς ξύλῳ πέπαυκε τὴν ξύλου βλάβην. Ἅισμα Ἰωσήφ. Inc. Χριστὸς ὑψούμενος σταυρῷ, *heirm.* Τῷ ἐκτινάξαντι Θεῷ.
Εἱρμὸς ἄλλος, inc. (f. 191v) Τρέμω τὴν καταδίκην, *heirm.* Νεύσει σου πρὸς γεώδη. Acr. Τὴν ἑβδόμην δέησιν ἥκω σοι φέρων. Φώτιος.

F. 195r-198v: Τῷ σαββάτῳ κανὼν παρακλητικὸς καὶ εἰς μάρτυρας, ἱεράρχας καὶ ὁσίους καὶ εἰς κοιμηθέντας. Γεωργίου
Acr. Χοροὺς ἀνυμνῶ ποιμένων καὶ μαρτύρων, ἐγὼ ὁ Ἰωσήφ. Inc. Χορὸς μαρτύρων ἀπλανῶν, *heirm.* Τῷ συνεργήσαντι Θεῷ.
Εἱρμὸς ἄλλος inc. Κόσμος ὡραϊσμένος τῶν ἀρετῶν, *heirm.* Νεύσει σου πρὸς γεώδη. Acr. Κανὼν τὸν αὐτὸν ἕβδομος σκοπὸν φέρων.

F. 198v-202r: Τῇ Δευτέρᾳ κανὼν κατανυκτικὸς καὶ τῶν Ἀσωμάτων.
Acr. Ῥῦσαι πυρός με τῆς γεέννης, Χριστέ μου, τὸν Ἰωσήφ. Inc. Ῥῦσαί με γεέννης, *heirm.* Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.
Εἱρμὸς ἄλλος, inc. (f. 199r) Ἁγίων ἀγγέλων ὡς ἀρχηγοί, *heirm.* Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν. Ἀκρ. ἀλφάβητος.

F. 202 r-207r: Τῇ γ΄ κανὼν κατανυκτικὸς καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου.
Acr. Πλήρωμα, Χριστέ, τῶν ὀδυρμῶν μου δέχου. Ἰωσήφ. Inc. Πλήρωσόν μου τὴν καρδίαν, *heirm.* Τῷ συντρίψαντι πολέμους.
Εἱρμὸς ἄλλος, inc. (f. 202v) Ἐν γῇ τὴν ἐξ ὕψους ἀνατολήν, *heirm.* Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, acr. in *theotociis*: Γεωργίου (inedito).

www.tezaurliturgic.ro

F. 207r-211v: Τῇ δ΄ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.
Acr. Τῷ προσπαγέντι τῷ ξύλῳ Θεῷ χάρις. Ἰωσήφ. Inc. Τῇ ἐκ τοῦ ξύλου ἐνηδόνῳ, *heirm.* Ἁρματηλάτην Φαραὼ ἐβύθισε.
Εἱρμὸς ἄλλος. Inc. Ταῖς καθαρωτάταις σου προσευχαῖς, *heirm.* Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν. Acr. Τὴν ὀγδόην δέησιν, ὦ μάκαρ, δέχου. Τοῦ Ἰωσήφ.

211v-215r: Τῇ ε΄ κανὼν παρακλητικὸς καὶ τῶν ἁγίων ἀποστόλων καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου.
Acr. Θείοις μαθητ<α>ῖς ἔσχατον πλέκω μέλος. Ἰωσήφ. Inc. Θείᾳ μεθέξει τὸν νοῦν (inedito), *heirm.* Ἡ κεκομμένη τὴν ἄτομον.
Εἱρμὸς ἄλλος, inc. (f. 212r) Δέχου τὸν ὕμνον, ἱερὲ Νικόλαε, *heirm.* Ἁρματηλάτην Φαραὼ ἐβύθισε. Acr.: Δέξα<ι τὸν> ὕμνον τοῦτον ὄγδοον, πάτερ. Φωτίου.

F. 215r-219v: Τῇ παρασκευῇ κανὼν σταυρώσιμος καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.
Acr. Πλήρωμα πάντων τῶν καλῶν σταυρὸς πέλει. Ἀμήν· Ἰωσήφ. Inc. Παλάμας θείας σταυρῷ, *heirm.* Σταυρὸν χαράξας Μωσῆς.
Εἱρμὸς ἄλλος, inc. (f. 215v) Καύσων ἰσχυρὸς καὶ τεκηδών, *heirm.* Ἆισμα ἀναπέμψωμεν, λαοί. Acr. Καὶ τοῖς νοσοῦσι παμμάκαρ, ῥῶσιν δίδου. Φωτίου.

F. 219v-223v: Τῷ σαββάτῳ κανὼν εἰς μάρτυρας καὶ ἱεράρχας, ὁσίους καὶ εἰς κοιμηθέντας.
Acr. Τῆς ὀκταήχου τῆς νέας θεῖον τέλος. Πόνοι δὲ Ἰωσήφ. Inc. Τίμιοι μαργαρῖται ὤφθητε, *heirm.* Ἄισωμεν τῷ Κυρίῳ τῷ διαγαγόντι.
Εἱρμὸς ἄλλος, inc. Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ, *heirm.* Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν. Acr. Θνήσκουσι πιστοῖς ὄγδοον πλέκω μέλος. Ἀμήν.

F. 223v: Sottoscrizione: Νεικωλ. πρ. ὤ ατηωχευς ευχεσθε αυτῶν αμῆν

Ff. 223r-224v: ἐξαποστειλάρια σὺν Θεῷ τὰ ἑωθινά: Τοῖς μαθηταῖς συνέλθωμεν, *theotokion* il cui incipit non è visibile, Τὸν λίθον θεωρήσασαι ἀποκεκυλισμένον, *theot.* Θεοκυῆτορ ἄχραντε; Ὅτι Χριστὸς ἐγήγερται, *theot.* Τοὺς πατρικούς; Ταῖς ἀρεταῖς ἀστράψαντ[α]<-ες>, *theot.* Ὑμνῶ σου τὸ ἀμέτρητον; Ἡ ζωὴ καὶ ὁδὸς Χριστός, *theot.* Ἐν τῇ γαστρί σου Κύριος; Δεικνύων ὅτι ἄνθρωπος, Σῶτερ, εἶ, *theot.* Ὁ Ποιητὴς τῆς κτίσεως.

La Paracletica, Giuseppe Innografo e san Nicola

Il codice sinaitico in esame costituisce un’eccezione per l’ampio spazio da esso dedicato all’innografia foziana (15 canoni). Anche gli inni di Fozio per san Nicola, come quelli per Giovanni evangelista, non hanno avuto fortuna e nella *Paracletica* romana, che possiamo considerare il punto di approdo di un’evoluzione non lineare, ancora incompleta al tempo

delle prime edizioni a stampa, essi sono sostituiti da sette inni di Giuseppe Innografo (816-883)[162].

Il predominio, pur non assoluto, dell'innografia di Giuseppe nella *Paracletica* non deve stupire. Come noto, infatti, è a lui tradizionalmente attribuita un'opera compositiva ben strutturata: un ciclo completo di canoni negli otto modi, dedicati ad essere intonati nei giorni feriali, a completamento dunque dell'antico *Ottoeco* di origine sabaita, che offriva canoni per un ciclo di otto domeniche[163]. Giuseppe, nell'acrostico del suo inno Τίμιοι μαργαρῖται ὤφθητε collocato a conclusione della sua Paracletica "feriale" (nel codice in questione ai ff. 219v-233v), definisce come "nuovo ottoeco" la propria opera, che proprio con quell'inno giunge a compimento (Τῆς ὀκταήχου τῆς νέας θεῖον τέλος. Πόνοι δὲ Ἰωσήφ).

Se la tradizione assegna a Giuseppe Innografo la strutturazione della Paracletica, l'agiografia lega anche strettamente Giuseppe proprio a Nicola di Mira. Nicola, infatti, secondo le notizie presenti nella *Vita* di Giuseppe scritta da Teofane, sarebbe stato particolarmente caro all'innografo, poiché egli l'avrebbe liberato dalle mani dei suoi carcerieri saraceni, i quali, dopo averlo catturato durante il suo viaggio da Roma a Costantinopoli, lo tenevano prigioniero a Creta[164]. Sebbene in altre rielaborazioni agiografiche della vita dell'innografo il ruolo salvifico sia attribuito ad altri santi, all'inizio del XIV secolo Niceforo Callisto Xanthopoulos (c.a. 1256-1335), in un suo poema dedicato ai miracoli di san Nicola, afferma che Giuseppe Innografo avrebbe dedicato il giovedì nella *Paracletica* al santo di Mira proprio perché egli l'aveva liberato dai pirati a Creta[165].

